4. ἅμαξαι] ἄμαξαι B. ‖ 5. κατωφερὲς] κατοφερὲς B. ‖ 7. παύεσθαι] ἀπαύεσθαι B. ‖ 11. ἀπαλλάττεσθαι] ἀπολάττεσθαι B. ‖ 13. ἐλαφροτέρας] ἐλαφοτέρας B. ‖ 21. ἀδυνατούσας] sic B. Sed forte legendum est ἀδυνατοῦσαι.

Apollodor. Poliorc. p. 151, l. 5 sqq.

Ὁ δὲ πρὸς τὴν καταφοράν ἀνερχόμενος λαὸς ἀκολουθήσει πρὸς τὰ πλάτη τῶν ἐμβόλων φυλαττόμενος ὅπου τῶν χελωνῶν ὄπιθεν, καὶ ταῖς ἀμπελοχελώναις σκεπόμενος διά τε τὰς ὀξείας καὶ τὰς σφενδονήσεις. Εἰσὶ δὲ τιαῦται· ξύλα βασάζουσιν οἱ ὁπλῖται ὀρθά, πρὸς ὕψος ἄνισα ὄντα, ἓν παρ' ἕν, πάχος ἔχοντα γυρόθεν ὡσεὶ δακτύλων δώδεκα, κατὰ δὲ πέντε πόδας πρὸς ἕτερα πλάγια ἐπ' εὐθείας ἐπεζευγμένα, ἵνα φυλάττηται τὸ τῶν πέντε ποδῶν πρὸς ἄλληλα μεταξὺ διάστημα· καὶ τὰ μὲν ὑψηλότερα αὐτῶν ὑπὲρ ἀνδρὸς ἡλικίαν καὶ ἥμισυ, τὰ δὲ ταπεινότερα ὑπὲρ ἄνδρα ἔσωσαν· ἄνωθεν δὲ σκεπόμενα, διὰ τὸ ἄνισον ἐξομοιοῦνται ἀναδενδράσι· τὸ δὲ ὑπὸ τῆς κορυφῆς τῷ ἐμβόλῳ ἄχει τῶν σκεπομένων ἀνίσων ξύλων ἐν χάσματι ἅμα φανήσεται χελώνης. Τὰ δὲ ὑπὸ τῶν ὁπλιτῶν βασαζόμενα ξύλα κάτωθεν ὡς ξίφη ἐχέτωσαν, ὅπως τῇ γῇ ἐμπισσόμενα τοὺς φέροντας ἀναπαύωσι. Δέρματα δὲ, ἢ λινᾶ παχέα, ἢ τείχινα, κρεμνῶνται ἔξωθεν καὶ κατὰ πρόσωπον· ἐπὶ δὲ τοῖς ἀνίσοις ξύλοις δέρματα ἐπικείσθωσαν ἄνωθεν διπλᾶ, ἐκ ἀπεκτεταμένα πρὸς ὁμαλὴν καὶ ἴσην ἐπιφάνειαν, ἀλλὰ ἐπισυνηγμένα κατὰ μικρὸν καὶ προσκεχαλασμένα πρὸς τοῖς ἀνίσοις ξύλοις, ἵνα τῇ τούτων χαυνότητι τὰ ἐπιπίπτοντα βέλη πρὸς τὴν πληγὴν ἀτονῇ καὶ ἐκλύηται, οἱ δὲ

Col. B fol. 194 r°

Col. B fol. 195 r°

4. τιαῦται] τιαῦτα B. ‖ 5. πάχος] μάχος B. ‖ 7. ἐπεζευγμένα] ἐπυζευγμένα B, sed primum υ librarius expunxit. ‖ 9. ἡλικίαν] ἡλικία B. ‖ 12. Post φανήσεται (fol. 194 verso ineunte) transgrediendum est ad folium 195 rectum et medium, ubi legitur χελώνης. τὰ δέ κ. τ. λ. ‖ 13. ὁπλιτῶν] πλίτων B. ‖ 15. ἢ λινᾶ] ἤλινα B (cf. Apollodor. Poliorcet. p. 144, l. 3 not. ed. nostræ). — τείχινα] τρύχινα B. — κρεμνῶνται] scripsi ex Apollodor. Poliorcet. (p. 142, l. 2) ubi περικρεμνῶνται ponunt codd. βρύμωνται B. βρυμῶνται L^{b}. κρέμανται conj. Martin.

ἔνδον σκεπόμενοι ἀβλαβεῖς διαμένωσι. Τὰ δὲ ὑπογεγραμμένα πάντα σὺν τοῖς σχήμασι κατὰ τάξιν ὑπόκεινται. *Apollodor Poliorc. p. 143, l. 3-5.*

Cod. B fol. 163 v° Εἰ δὲ ἐν ἐπιπέδοις καὶ ὁμαλοῖς τόποις ὦσιν αἱ πόλεις κείμεναι, τὰς χωστρίδας δεῖ προσάγεσθαι χελώνας, ὑποτρόχους αὐτὰς ὄσας καὶ ἔμπροσθεν καταστεγεῖς, ἵνα οἱ τὰς τάφρους χωννύοντες ἀπὸ τῶν ἐναντίων μὴ πλήττωνται· ἢ τὰς προειρημένας λαίσας, ὡς ἐλαφροτάτας καὶ χρησίμους πρὸς τὸ χωννύειν τάφρους, τόπους τε ἐνύδρους καὶ ὑπόμβρους ἀναγεμίζειν, καὶ παντοῖα λακκίσματα ἐξομαλίζειν τοῖς τείχεσι πλησιάζοντα, ὅπως εὐδιάβατον καὶ ἀκίνδυνον τὴν τῶν μηχανημάτων ἀγωγὴν ποιησώμεθα. Δεῖ δὲ ἀκριβῶς σκοποῦντας ἀνερευνᾷν τὰς ἐπὶ τὰς τάφρους φαινομένας ἰσοπέδους διαβάσεις, διὰ τὰ κάτωθεν πολλάκις κρυπτόμενα ὑπὸ τῶν ἐναντίων κεράμια, καὶ τοῖς μὲν ἀνθρώποις εὐδιάβατον καὶ ἀκίνδυνον τὴν ὁδὸν ἀποφαίνεσθαι, τοῖς δὲ προσφερομένοις ὀργάνοις λίαν βαρυτάτοις οὖσι καταδύνειν καὶ διασπᾶσθαι ἐπὶ τῇ θραύσει καὶ ἐπιδόσει τῶν ὑποκειμένων κεραμίων. Ὅθεν χρὴ μετὰ

Philon. ed. Th. p. 99, l. 41-44

Cod. B fol. 163 v° *Philon. ed. Th. p. 100, l. 4-11*

2. Post ὑπόκεινται (fol. 195 recto et imo) regrediendum est ad folium 162 versum et medium, ubi pergit oratio hisce verbis: Εἰ δὲ ἐν ἐπιπέδοις καὶ ὁμάλοις κ. τ. λ. Hæc et sequentia desunt in Apollodori Poliorceticis, ubi forte lacuna notanda est (p. 143, l. 5 ed nostræ). Quod minime mirandum est, quum ad constituendam hanc Poliorceticorum textus partem deficiat codex vetustissimus M, neque supersint nisi codices PV, ex recensione decimo sæculo facta exarati. Cujus recensionis auctor multa de suo arbitrio videtur recidisse. Itaque conjicere licet Apollodorum, quum de obsidione civitatum in altis collibus sitarum (p. 139, l. 9 sqq.) accurate scripserit, scripsisse etiam de civitatibus in plano jacentibus, sed illam alteram partem ab epitomatore recisam fuisse. ‖ 5. καταστεγεῖς] κατασκευεῖς B. ‖ 6. ἀπὸ] sic B. Forte legendum ὑπὸ. ‖ 8. ἐνύδρους] ἐν ὕδρους B. — ὑπόμβρους] ὑπ' ὄμβρους B. ‖ 9. εὐδιάβατον] εὐδιάματον B. ‖ 13. ἀνθρώποις] ανοις B. Male vertit *cœlis* Barocius quasi legerit ουνοις, scilicet ουρανοῖς, quod plane a sensu abhorret. ‖ 14. τὴν ὁδὸν] τὸν ὁδὸν B. ‖ 16. ἐπιδόσει] sic B. ὑφιζήσει conj. Martin.

ἀκοντίων εὐτόνων λόγχας ἀσφαλεῖς ἔχοντων, ἢ ὁλοσιδήρων, ἢ

Fig. LXXX.



πυρπάνων λινῶν ἐπιπλείων τὴν ἀπόπειραν ποιεῖσθαι· ὡς δὲ

τοὺς καπεσπαρμένους ὑπὸ τῶν ἐχθρῶν σιδηροῦς τριβόλοις τῇ γῇ



Fig. LXXXI.

ἀναμιγνυμένους καὶ ἀφανεῖς ὄντας, ξύλινα ὑποθέματα πρὸς τοὺς πόδας τοῖς ὑποδήμασι κάτωθεν ὑποθέντας, ἀβλαβῶς διαβαίνειν, ἢ τοῖς γεωργικοῖς κτεσὶν, οὓς καὶ γριφάνας τινὲς καλοῦσιν, ὀδοντωτοῖς οὖσι, τούτους ἀνακαθαίρειν· καὶ πρὸς τὰς ἐπὶ βοθρεύμασι τιθεμένας θύρας, πρόπειραν ποιουμένους, ταῖς δικέλλαις ἀνασκάπτειν. Χρὴ δὲ καὶ τὰς ὑπὸ γῆν πρὸς τῷ τείχει γινομένας ὑπορύξεις κρυφίας βαθείας πρὸς τοῖς θεμελίοις ποιεῖσθαι, καὶ μὴ εἰς ὄψιν τῆς γῆς, ἵνα μὴ διαγνόντες οἱ πολέμιοι ἔνδον ἀντορύξωσι, καὶ τῷ τείχει ἀντιτρυπήσαντες καπνῷ ἢ ὕδατι τοὺς τὴν ὀρυγὴν κατεργαζομένους ἀπολέσωσι.

Philon. ed. Th. p. 99, l. 11.

Cap. II. De scalis coriaceis et reticulatis.

Τὸν δὲ βουλόμενον εὐκόπως πορθεῖν τὰς πόλεις, κατὰ Φίλωνα τὸν Ἀθηναῖον, δεῖ μάλιστα, τρυγητοῦ ὄντος ἢ ἑορτῆς ἔξω τῆς πόλεως ἀγομένης, ἀθρόαν τὴν ἐπίθεσιν ποιεῖσθαι· πλείστους γὰρ ἔξω τότε χειρούμενον, εὐάλωτον ἢ ὑπόφορον καὶ τὴν πόλιν ἐκ τῶν λοιπῶν οἰκητόρων διὰ τὴν πρὸς αὐτοὺς στοργὴν ἢ συγγένειαν ἀνταλλαττόμενον ἕξειν. Εἰ δὲ κατὰ κλοπὴν νυκτὸς τὴν πόλιν βουλόμεθα λαβεῖν, τῶν πολιτῶν τὴν ἔλευσιν ἡμῶν ἀγνοούντων καὶ ἀνελπίστων ὄντων, χειμῶνος καταλαβόντος, ὅτε τῷ κρύει τούτων οἱ πλείους ἐν ταῖς οἰκίαις συστέλλονται καὶ ἀπαράσκευοι πρὸς μάχην τυγχάνουσιν, ἢ πανδήμου ἑορτῆς ἐν τῇ πόλει τελουμένης, καὶ τοῦ

Ined.

Philon. ed. Th. p. 96, l. 28-37.

Cod. B fol. 164 r°

4. τούτους] conj. Martin. τούτοις B. ‖ 4-5. ἐπὶ βοθρεύμασι] ἐπιβοθρεύμασι B. ‖ 7. κρυφίας] κριφίας B. ‖ 9. τῷ τείχει] sic B. τὸ τεῖχος conj. Martin. ‖ 11-12. Nominatur hic Philo Atheniensis, qui alibi Philo Byzantius audit apud nostrum. (Vide infra pag. 260, l. 5.) Sic quoque in codice Oxoniensi quem ipse inspexi Philo Byzantius nominatur Φίλων ὁ Ἀθηναῖος. ‖ 15-16. ἀνταλαττόμενον B. ‖ 18. χειμῶνος καταλαβόντος] χειμῶνος δὲ καταλαβόντος posuit prima manus B, sed δὲ delendum notavit.

Insul. πλήθους ἐπὶ τῇ τελετῇ παιγνίοις χολάζοντος, ἢ καταφόρου ὑπὸ τῆς μέθης ὄντος, κλίμακας ποιήσαντες δερματίνας τῷ τείχει προσ- *Philon. ed. Th. p. 102, l. 12-19.*
άξομεν, αἵτινες ἐάπλονται καθάπερ οἱ ἀσκοί, καὶ τῇ ἀλοιφῇ ἐμφεσπόμεναι πρὸς τὰς ἐαφὰς ἀναγεμίζονται, ὥστε μὴ διαπνέειν· ἐμφυσωμένων γὰρ καὶ πνεύματος πληρουμένων, τὸ διαπνεῖν κωλυομένων, ἐξορθοῦσθαι αὐτὰς ἀνάγκη, ὑπὸ τοῦ πνεύματος ἀντεχομένων, πρὸς τὴν ἀνάβασιν. Εἰ δὲ ὑψηλότερον τῶν κλιμάκων τὸ τεῖχος εἴη, ἐπὶ ταῖς συμπήναις προϋπάρχουσι κλίμαξιν, αἳ κατασκευάζονται διὰ πλοκῆς ἢ ἐαφῆς δεσμούμεναι, δικτυω-



Fig. LXXXII.

τὰ ὅσα ὡς τὰ λεγόμενα σάρκινα· εἰς δὲ τὰ ἄκρα αὐτῶν

1. καταφόρου] καταφούρου correctum in καταφόρου B. ‖ 2. κλίμακας ἐπείμους (ἐπείμας codex V) ἔχοντας ponit Philo (Th. p. 96. l. 35). ‖ 5. πνεύματος] $\overline{\text{πνς}}$ ponit B. ‖ 6. πνεύματος] $\overline{\text{πνς}}$ iterum B. ‖ 10. σάρκινα] sic B. Videtur vocabulum e latino *sarcina* a Byzantinis transcriptum. (Cf. Du Cange, *Gloss. med. et inf. græc.* s. v. Σάκκιον).

ἄγκιστρα προσβάλλονται, ἵνα ἀπὸ τῶν προϋποτεθέντων δερματίνων ἐπιρριπτόμενα ἐπιλαμβάνηται τῶν προμαχώνων, καὶ οὕτως τὴν ἐπὶ τὸ τεῖχος ἀνάβασιν τοῖς βουλομένοις διευθετίζωσι. Τὰ δὲ τῶν κλιμάκων σχήματα ὑπογέγραπται. Incl.

Cap. III. De testudinibus fossoriis.

Τὰ δὲ ἀνωτέρω προρρηθέντα ἔμβολα σὺν ταῖς ἀμπελοχελώναις ὅταν ἐγγὺς τοῦ τείχους ἀνέλθωσι, χελώνας δεῖ τότε διαφόρους προσάγειν, ἄλλας μὲν πρὸς τὸ ὀρύξαι τὸ τεῖχος, ἑτέρας δὲ πρὸς τὸ κριοκοπῆσαι· ἐπὶ μὲν οὖν τοῦ ὀρύξαι, τὰς λεγομένας ὀρυκτρίδας· ταύτας δὲ ἢ διρρύτους εἶναι καὶ κατὰ πρόσωπον σκεπομένας προσάγεσθαι καὶ προσεγγίζειν τῷ τείχει, ἢ μονοπτέρους, ὅπισθε μὲν κατωφερεῖς, κατὰ δὲ πρόσωπον τετραγώνους, καὶ ἐκ πλαγίων τραπεζοειδεῖς ὡς τριγώνους, κατασκευαζομένας οὕτως· Cod. B fol. 164 v.

Apollodor. Poliorc. p. 143, l. 6-9.

Apollodor. Poliorc. p. 143, l. 11 sqq.

ξύλα λαβόντας τρία, ἢ τέσσαρα, ἔστι δὲ ὅτε καὶ πέντε διὰ τὸ πυκνότερον καὶ στερεώτερον τοῦ ἔργου, μῆκος ἔχοντα μὴ ἔλασσον ποδῶν δέκα, πάχος δὲ ὡσεὶ ποδὸς ἑνὸς, ὁμοίως δὲ καὶ πλάτος, ταῦτα ἀποκόπτειν ἄνωθεν λοξῶς ὡς πρὸς ὄνυχα, ἵνα προσφερόμενα δι' ὑποτρόχων ἀξόνων, ὑπὸ ὀρθίων ξύλων ἔσωθεν βασταζόμενα, προσεγγίσωσι τῷ τείχει· ἱστάσθω δὲ πρὸς τῷ τείχει στῦλος ὑπόθεμα κάτωθεν ἔχων, ὅστις καὶ τὰ ἐπικείμενα ξύλα καὶ τὰ ὑποστηρίζοντα βαστάσει πάρορθα, ἵνα τὰ ἄνωθεν καταφερόμενα μηδὲν παραβλάπτοντα τὴν στέγην παρεκπίπτῃ ὄπισθεν. Τὰ δὲ πάρορθα ξύλα καὶ πρὸς ὄνυχα ἔμπροσθεν ἐκκεκομμένα κέντρα σιδηρᾶ ἐχέτωσαν ὄπισθεν, ἵνα ἐμπήσσωνται τῇ γῇ καὶ μὴ

19. στῦλος | sic B, non autem στύλος. || 22. ἐκκεκομμένα | ἐκκεκομένα B.

Ind. παρασύρφονται· εἰς δὲ τὰ πλάγια κρεμάθωσαν δέρματα ἢ ῥάκη σκέποντα, ἢ τὰ ἐκ βεργῶν ἢ φοινίκων πεπλεγμένα, διὰ τὰ ἐκπέρθεν ἐμφερόμενα βέλη· ὡσαύτως δὲ καὶ ἐπὶ τὰ ἔμπροσθεν. Ὅταν δὲ προσεπίζωσι τῷ τείχει, ἀναπεταζέσθωσαν ἐπὶ τὰ ἄνω τὰ ἔμπροσθεν· ὑποκρύπτεσθαι δὲ καθ' ἑκάστην χελώνην ἄνδρας δύο ὀρθοὺς ἱσταμένους καὶ σκάπτοντας τὸ τεῖχος, πρὸς μὲν πάχος πλέον τῶν ἡμίσους, κατὰ δὲ πλάτος ὅσον καὶ τὸ τῆς χελώνης ἐστί, πρὸς δὲ τὸ ὕψος ἀπὸ τελῶν ποδῶν ἄνωθε τῆς γῆς ἀρχομένους ὀρύσσειν, ἵνα τὰ ἐκ τῆς ὀρυχῆς κατερχόμενα πρὸς τὸν ἑαθέντα κάτωθεν πίπτωσι τόπον· ἐπὶ δὲ τὸ ἀνώτερον μέρος τοσοῦτον σκάπτειν ὅσον οἱ ὀρύσσοντες ἀπαρεμποδίστως δυνήσονται. Ἐπὶ-

Apollodor. Poliorc. p. 144, l. 1 sqq.



Fig. LXXXIII.

τερον δὲ εἴκοσι ποδῶν διεσπιέτωσαν ἀπ' ἀλλήλων αἱ χελῶναι,

2. ῥάκη] ῥάκτη B. ‖ 11. δυνήσονται] δυκινήσωνται B. ‖ 12. χελώναι] χελώναι B.

ἵνα κὴ πολλαὶ ὦσι, κὴ πολὺν τόπον οἱ ὀρύσσοντες ἐπὶ τὸ τεῖχος ἐργάζωνται· κὴ μικραὶ ὅσαι, ἵνα ταχέως κὴ εὐκόπως παράγωνται, κὴ ἵνα μὴ ἐπ' εὐθείας τοῦς τὸν σκοπὸν φέρηται κὴ εὐσοχῇ τοῦς τὰ πλάγια τῶν χελωνῶν τῶν ταυτὴν διάσασιν ἀπ' ἀλλήλων ἐχουσῶν τὰ ὑπὸ τῆ τείχοις ὑπὸ τῶν ἐναντίων βαλλόμενα. Τὰ δὲ ὑπογεγραμμένα σχήματα ὑπόκειται.

Inst.

Cod. B fol. 165 r°

Cap. IV

De fodinarum sustentatione et combustione

Ὅταν δὲ τρυπηθῇ τὸ τεῖχος ὑπὸ τῆς ὄψεως ἔνδον ἐπὶ τὸ πάχος κὴ διάχωρα κατὰ πλάτος ταυτὰ λάβῃ ὅσα κὴ αἱ χελῶναί εἰσι, καὶ οἱ ῥηθέντες δύο ἄνδρες ἀπ' ἀλλήλων ἀπεσταλμένοι ἔσωθεν ἀπαρεμποδίστως ἐπὶ τὰ διάχωρα σκάπτωσιν, ὅπερ χελώνης ἔχοισι χρείαν τοῦς τὰ πλάγια μέρη ὀρύσσοντες καὶ ὑπὸ τῆ πάχους τῆ τείχους ἔνδον φυλαττόμενοι. Ἵνα δὲ τοῖς σκάπτοισι μὴ συνεμπίπτῃ τὸ τεῖχος, ὑποξυλούσθω ἔσωθεν κὴ βασταζέσθω ξυλαείοις λεπτοῖς μᾶλλον καὶ πυκνοῖς καὶ μὴ παχέσι καὶ ἀραιοῖς, ἐπάνω κὴ ὑποκάτω σανίδος πεπυμένης ἵνα μὴ τοῦς τῇ γῇ ὑποχαλῶνται τὰ ξυλάεια [καὶ] ὁ βασάσῃ. Ὅταν δὲ τελειωθῇ τὸ ὄρυγμα κὴ ἐπιξυλωθῇ, [ἀναπληρούσθω] τὸ κατὰ μέσον τῶν ἐπιξύλων ὑλῶν εὐκαύστων, οἷον φρυγάνων, ξύλων ξηρῶν ἐφισμένων, δᾴδων, κὴ ὅσα τούτων ἕτερα τοῦς ἑκκαυσιν ἐπιτήδεια· κὴ ὅπως ἀναφθήτω. Εἰ δὲ ὅς ἐλλείπει τόπος, πυροβόλοις ὑφαπλέσθω.

Apollodor. Poliorc. p. 145. l. 1 sqq.

Cod. B fol. 165 r°

7. τεῖχος] τῖχος B. ‖ 8. ταυτὰ] παυτὰ B. ‖ 10. ἀπαρεμποδίστως] ἀπαρεπδίστως B. ‖ 13. βασταζέσθω] βασδαζέσθω correctum in βασά B. ‖ 14. παχέσι] πάχεσι B. ‖ 16. καὶ] om. B. Inserui ex conjectura. ‖ 17. ἀναπληρούσθω] om. B. Supplevi ex conjectura. ‖ 20. πυροβόλοις] scripsi ex Apollodoro (p. 145. l. 12 ed. nostræ) unde totus hic locus petitus est. πυοβόλοις ponit B.

Ἐχέτω δὲ καὶ ξύσματα ξύλων ξηρὰ περιεσπαρμένα σὺν ὑγρᾷ πίσσῃ ἢ ἐλαίῳ ἐπαλειφθέντα· καὶ οὕτως, ἐκκαέντων τῶν ὑποσυλωμάτων, καταπεσεῖται τὸ τεῖχος. Καὶ ἔστιν ἡ ὄψις τοῦ σχήματος τοιαύτη.

Apollodor. Poliorc. p. 146, l. 1-3.



Fig. LXXXIV.

Cod. B. fol. 166 r.

Τοῖς δὲ τῶν χελωνῶν τούτων παρορθίοις ξύλοις ἧλοι πλατυκέφαλοι ὕψοις δακτύλων ὀκτὼ, ἤτοι καρφία ἐκ σιδήρου εἰργασμένα, ἄνωθεν ἐμπησσέσθωσαν ἄχρι δακτύλων τεσσάρων· τοὺς δὲ λοιποὺς τέσσαρας ὑπερέχοντας ἐχέτωσαν· τὸν δὲ διὰ μέσου τόπον πηλὸν λιπαρὸν καὶ κολλώδη μετὰ τριχῶν χοιρείων ἢ τραγείων μεμαλαγμένον ἐπιχρίειν καὶ ἀναγεμίζειν, ἵνα μὴ διασπᾶται μηδὲ διασχίζηται. Κρατηθήσεται γὰρ καὶ διὰ τὴν πυκνότητα τῶν ἥλων καὶ διὰ τὸ πλάτος τῶν κεφαλῶν αὐτῶν. Ῥάκη δὲ ἐκ πλαγίων ἢ δέρματα ἐπικρεμάσθωσαν, ἵνα μήτε ἄμμος θερμὴ μήτε

Cap. V. De testudinum consolidatione.

Apollodor. Poliorc. p. 146, l. 4 sqq.

1. ξύλων] ξυλῶν B. ‖ 2. ἐπαλειφθέντα] ἐπαλιφέντα B. ἐπαλλειφθέντα L[a]. ‖ 7. ἐμπησσέσθωσαν] ἐμπησσίσθωσαν B. ‖ 11. μηδὲ] μὴ δὲ dividit B.

Apollodor. Poliorc. p. 147, l. 1-6.

πίσσα μήτε τήλη ἀφεψηθεῖσα μήτε ἔλαιον ἐπιχεόμενον, ὡς ταχέως φύσει θερμαινόμενον καὶ ψυχόμενον βραδέως, τοῖς ἔνδον ἐργαζομένοις ἐνστάζῃ· παρομοίως γὰρ πυρὶ τὰς τῶν ἀνθρώπων ἀναλίσκοισι σάρκας. Οὕτως οὖν κατεργαζόμεναι αἱ χελῶναι διαφυλαχθήσονται πρὸς τὸ μὴ καίεσθαι ἐκ τῶν ἐπιβαλλομένων ἄνωθεν πυροφόρων καὶ ἀναπτομένων φλογῶν, μηδὲ διέρχεσθαι ἔνδον τὰ ἐπιχεόμενα τεθερμασμένα ὑγρά. Ὡσαύτως δὲ λαῖσαί τε καὶ γερροχελῶναι ἐπὶ τὰ πλέγματα σκεπέσθωσαν δέρμασι διαβρόχοις βοῶν νεοσφαγῶν, ὡς δυναμένοις πυρὶ ἀντιμάχεσθαι. Αὗται δὲ αἱ χελῶναι πόρρωθεν λιθοβόλων ὀργάνων καὶ τοξοβολισμῶν χριέσθωσαν,

Fig. LXXXV.

συμπεπηγυῖαι δὲ καὶ ὑπότροχοι συμβληθεῖσαι τοῖς τείχεσι προσαγέσθωσαν. Καὶ τὸ σχῆμα ὑπόκειται.

1. τήλη] sic B. De hoc verbo cf. Boisson. *Notices*, II, p. 219; *Anecdot.* III, p. 412, 415. — ταχέως] ταχέως B. ‖ 3. ἀνθρώπων] ανων B. ‖ 3-4. ἀναλίσκοισι] ἀναλισκοισια B. ‖ 8. σκεπέσθωσαν] sic B. σκεπάσθωσαν L[a]. ‖ 10. τοξοβολισμῶν] τοξοβολιστρῶν B.

Cap. VI.

De murorum lapideorum per urnam combustione.

Ibid.

Cod. B. fol. 166 v°

Τινὲς δὲ ἐπὶ λιθίνων τειχῶν ξύλα ὡς ἔθος περιτιθέσαντες προσεγγίζονται κάτωθεν, ὥστε ἀνάπτεσθαι καὶ θρύπτειν τοὺς λιθους. Δύσχρηστον δὲ τὸ ἔργον ἐνίοτε καὶ ἐπισφαλὲς γίνεται, ὅτι καὶ ὕδωρ ἄνωθεν ἐπιχεόμενον σβεννύει τὸ πῦρ, καὶ ἀσθενεστέρα πρὸς πλάγιον ἡ τοῦ πυρὸς φορὰ γίνεται, ὡς φύσει ἀνωφερὴς καὶ πρὸς ἐνέργειαν ἰσχυροτέρα τυγχάνουσα, καὶ οὐ δυνήσονται ἐπὶ τῇ τῆς φλογὸς ὁρμῇ οἱ ἔνδον ἐργαζόμενοι ὑπὸ χελώνην εἶναι· συγκαήσονται γάρ. Γίνονται οὖν κύθρινοι ὀστράκινοι διὰ πετάλλων σιδηρῶν ἐπὶ τοῦ ἔξωθεν μέρους συνδεδεμένοι, καὶ γεμίζονται ἀνθράκων λεπτῶν· ἀπὸ δὲ τῆς ἔξωθεν ὄψεως τοῦ πετάλλου πρὸς τὸν πυθμένα τέτρην-

Apollodor. Poliorc. p. 152, l. 6 sqq.

Fig. LXXXVI.

ται ἀνεωγότες ἄχρι δακτυλιαίου τρυπήματος, καὶ σιδηροῦν αὐλί-

1. περιτιθέσαντες] περιτιθέσασι B. ‖ 4. ἀσθενεστέρα] ἀσθενέστερα B. ‖ 7. συγκαήσονται] συγκακήσονται B. ‖ 8. κύθρινοι] scripsi ex vetustissimo codice Apollodori M. (Vid. p. 152, l. 12 not. ed. nostræ.) χύθρινοι ponit B. Libri mss. variaverunt in scribendo hoc vocabulo, nam reperias in codicibus Apollodori κύθρινοι, χύθρινοι, χύτρινοι, atque etiam χύδρινοι. ‖ 11-p. 220, l. 1. σιδηροῦν αὐλίσκον] correxi ex Apollo-

Apollodor. Poliorc. p. 153, l. 1-7.

σκον ἐκεῖθεν δεχόμενοι, πρὸς ὃν ἄλλος ἐμβάλλεται ἄσκωμα ἔχων. Πῦρ δὲ λαβόντες οἱ ἄνθρακες καὶ ἐμφυσώμενοι ὁμοίαν φλογὸς ἀπεργάζονται ἔκκαυσιν ὑπεμβαίνουσαν τῷ λίθῳ καὶ θρύπτουσαν, ἢ ὄξους ἢ ὕρου ἤ τινος ἄλλου τῶν δριμέων ἐπιχεομένου. Καὶ ἔστι τὸ σχῆμα οἷον ὑπογέγραπται. Κέχρηνται δὲ αὐτῷ συνεχῶς οἱ μολιβδουργοί.

Ined.

Cap. VII. De murorum lateritiorum per terebras perforationibus

Εὰν πλίνθινα τείχη καταβαλεῖν ταχέως θελήσωμεν, πυκνοτάτας ἐπ' αὐτὰ τρήσεις διὰ τρυπάνων ποιήσομεν, ὑπὸ χελωνῶν ἄνωθεν ἐπικεχρισμένων σκεπόμενοι, ἢ λαισῶν ἀσφαλεστάτας στέγας ἐχουσῶν καὶ δέρμασι βοῶν νεοσφαγῶν περὶ τὰ πλέγματα σκεπομένων, διά τε τὰ πεμπόμενα κατ' αὐτῶν βάρη καὶ τὰ ἐγχεόμενα τεθερμασμένα ὑγρά. Τὰ δὲ τρύπανα ἔστωσαν τεκτονικοῖς ὀργάνοις παρόμοια· μοχλὸς γὰρ γίνεται σιδηροῦς μήκους ποδῶν μὴ ἔλασσον πέντε, δακτυλιαίαν τὴν διάμετρον ἔχων καὶ πάχος γυρόθεν ὡσεὶ δακτύλων τεσσάρων, πέταλλον ὁμοίως σιδηροῦν ἐπὶ τὸ ἔμπροσθεν ἄκρον προσηλωμένον ἔχων πλάτους δακτύλων δώδεκα καὶ ὕψους ὀκτὼ, ἐστενωμένον κατὰ μέσον ἔμπροσθεν ἐν σχήματι κηπουρικοῦ πλατυλισγίου· πρὸς δὲ τὸ ἕτερον ἄκρον ξύλινον ἀπὸ τορλίου μεσόστενον εἰσδέχεται κύλινδρον ὑπὸ ἀρίδος στρεφόμενον ἔχοντα κατὰ μέσον τοῦ ὀπισθίου μέρους κεφαλοειδῆ παρεξοχὴν ὑπεμβαίνουσαν καὶ ἀναστρεφομένην ἐπὶ τὴν ὀνομαζομένην πυελίδα ἤτοι ἐπικεφαλίδα τινὰ οὖσαν, κανόνος τῇ γῇ ἐπικειμένου τοῦ προσ-

Col. B fol. 167 r°

Apollodor. Poliorc. p. 148, l. 1 sqq.

dori Poliorcetis, ubi σύριγγα σιδηρᾶν. (Vid. p. 153, l. 2 ed. nostræ.) σιδήρ' ὁ ἀναυλίσκον ponit B. ‖ 8. ποιήσομεν] ποιήσωμεν B. ‖ 13. σιδηροῦς] σιδηρούς B. ‖ 14-15. γυρόθεν] γύροθεν correctum in γυρόθεν B. ‖ 18. ἕτερον ἄκρον] ἕτερον ὃν ἄκρον B.

Ined. ἀγοντος αὐτὴν ϰ᾽ ἐπαϰολουθοῦντος ἀεὶ τῷ τρυπομένῳ τόπῳ. Περι- *Apollodor. Poliorc.* γραφήσεται δὲ πρὸς τὴν αὐτὴν ἐργασίαν ϰ᾽ διὰ χειρῶν ϰινούμε- *p. 149, l. 1 sqq.*
νος ὁ ϰύλινδρος σὺν τῷ τρυπάνῳ, ἐὰν ϰανόνια πρὸς τὸ μέσον εἰσδέ-
ξηται ὡς φρεατίας ἠλαϰάτης ϛαυροειδῶς διεχβληθέντα, ἃ ἶνες ἐϰ
5 τῶν ϰήματος ἀστερίσϰους ϰαλοῦσιν. Τὰς δὲ γινομένας ἐπὶ τῷ τείχει
τρυπήσεις πλαγίας τε ϰ᾽ ἀνωφερεῖς [δεῖ] ποιεῖσθαι ὡς πρὸς τὸ
ἐνδότερον μέρος ὑψηλοτέρας, ὅπως τὰ ἐϰ τῆς πλίνθου ὑπὸ τῶν
Cod. B. fol. 167 v°. τρυπάνων περιξεόμενα εὐϰατάφορα γίνηται. Καὶ τὸ ἐπ᾽ ἄϰρον
τῶ μοχλοῦ προσπλωθὲν πέταλλον ϰαλῶς πρὸς τὴν ἐργασίαν
10 ἀναβασάζεται σπειζόμενον ὑπὸ τῶ τῇ γῇ πλαγίου ἐπϰειμένου
ϰανόνος ϰ᾽ πρὸς αὐτῇ ἀντισπειζομένου. Ἡ δὲ ἐϰ τῶν τρυπάνων



Fig. LXXXVII.

γινομένη ἀνωφερὴς σύντρησις οὐ ποιεῖ συγϰάθησιν μόνην τῶ τεί-

6. πλαγίας] πλαγιίας B. — δεῖ] om. B. Inserui ex Apollodori Poliorceticis, ubi πλαγίαν δὲ δεῖ τὴν τρύπησιν εἶναι (vid. p. 149, l. 2 ed. nostræ). ‖ 8. περιξεόμενα] sic B. Scripserat primum librarius περιξυόμενα. Ponunt codices Apollodori περιξυομένη γῆ. (Vid. p. 149, l. 3 ed. nostræ.) — γίνηται] γίνεται B. — ἐπ᾽ ἄϰρον] ἐπάϰρου B. ‖ 10. ἀναβασάζεται] ἀναβασαίζηται B. ‖ 12. συγϰάθησιν] συγϰάθησιν B. Apollodorus in Poliorceticis ἡ πα . . . ἡ ϰλίσις τῶν τρυπημάτων οὐ ποιῇ ϰάθημα τῶ πίϰνους μόνον, ἀλλὰ ϰ᾽ ὅπῃ τῷ ἔξω ὄλισθον. (Vid. p. 149, l. 3-p. 150, l. 2 ed. nostræ.)

Apollodor. Poliorc. p. 150, l. 1-5.

χοις, ἀλλὰ καὶ παρεγκεκλιμένην ἐπὶ τὴν ἔξω καταφοράν. Καὶ γίνεται ἀθρόως πολὺ περὶ τὸ τεῖχος τὸ σύμπτωμα. Καὶ ἔστι τὸ τῆς κλίσεως σχῆμα τοιοῦτον. Insl.

Fig. LXXXVIII.



Τρυπάσθω δὲ ἐξ ἴσου τὸ τεῖχος ἐπὶ τῆς αὐτῆς εὐθείας, ἀπεχομένων ἀπ' ἀλλήλων τῶν τρυπημάτων πόδα καὶ τέταρτον, τουτέστι δακτύλους εἴκοσι, ἤτοι σπιθαμὴν καὶ δύο παλαιστάς· ἔστι γὰρ ἡ σπιθαμὴ δακτύλων δώδεκα, ἡ δὲ παλαιστὴ τεσσάρων. Τὰς δὲ τρυπήσεις ἀπὸ τῆς γῆς ἄνωθεν ἀπαρχομένους [δεῖ] ποιεῖσθαι ὡς ἀπὸ ποδῶν τριῶν, καθάπερ καὶ ἐπὶ τῶν λιθίνων προειρήκαμεν τειχῶν, ἵνα ἡ ἐκ τῶν τρημάτων κατερχομένη ὕλη ἐπὶ τὸν ἐαθέντα κάτωθεν πίπτῃ τόπον. Cod. B. fol. 168 r.

Ση[μείωσαι] σπιθαμή. παλαιστή.

Cap. VIII. De murorum

Ὅταν δὲ τρυπηθῇ κατὰ τάξιν μέτωπα τοῦ τείχους, ἀναγεμί-

6. σπιθαμήν] σπιθάμην B. Sed codex habet in margine litteris rubricatis exaratam notulam hanc : Ση[μείωσαι] σπιθαμή. παλαιστή. || 8. δεῖ] conjeci. || 12. μέτωπα] scripsi ex Apollodori Poliorceticis. (Vid. p. 150, l. 6 ed. nostræ.) μέτωα B.

Incl. ζονται τὰ πρήματα ἐκ τῆς ἔξωθεν ὀψεως ἐπὶ τὰ ἔνδον, ὑ ωεὸς ὅλον τὸ πάχος, ἀλλ' ἐπὶ πόδα μόνον, ξύλοις ξηροῖς ἐρισμένοις, μὴ τετραγώνοις ὥστε κατὰ πλάτος ἐφαρμόζειν ἀλλήλοις, ἀλλὰ παραξροπύλοις ὡς πασσάλοις, πάχος ἔχοισι ωεὸς τὴν βάσιν δακτύλων μὴ πλέον τελῶν, ωεὸς δὲ τῇ κορυφῇ μᾶλλον ἐσενωμένοις ωεὸς τὸ βασάζειν τὸ τεῖχος κατὰ τὸν τῆς ἐργασίας καιρόν. Καὶ, εἰ ἐνδέχεται, δᾷδες οἱ πάσσαλοι ἔσωσαν· εἰ δὲ μὴ, ξύλα ξηρὰ πεπισωμένα ἢ θείῳ τετριμμένῳ σὺν ὑγρᾷ πίσῃ ἢ ἐλαίῳ ἐπαλειφέντα. Σηροπύλοι δὲ γίνονται οἱ πάσσαλοι, ἵνα μεταξὺ ωεὸς ἀλλήλοις διαλείμματα ἔχωσιν, ἔνθα τὸ πῦρ ἐσεμβαῖνον ϗ ἀναξηφόμενον ἐπανάπηται, ϗ μὴ τῇ πυκνότητι συμπνιγόμενον σβεννύηται. Ὅταν δὲ γεμισθῶσι πάντα τὰ πρήματα ποδὸς ἄχει κατὰ βάθος, ὡς εἴρηται, πάλιν ἐπὶ τῆς αὐτῆς εὐθείας πυπάθωσαν κατὰ μέσον τὰ καταλειφθέντα διάχωρα κατὰ τάξιν ἐξ ἴσου ωεὸς τὰ ωεότερα. Τὰ δὲ ἑξατα πρήματα πλαγιάζέσθωσαν ἐφ' ἑκάτερον μέρος, ἵνα ἐπὶ τὰ ωεότερα ἡ τῶν ὑστέρων ἐπεισέρχηται σύντρησις, ϗ γεμισθήτωσαν ϗ αὐτὰ ξυσμάτων ἤτοι πελεκημάτων ἢ ρυκανισμάτων ξηρῶν ϗ εὐκαύστων φρυγάνων ἢ ξυλάκων, καθ' ὧν τὸ πῦρ ἐπιδρασόμενον ταχεῖαν τὴν ἔκκαυσιν ποιεῖται. Ἐξεπίτηδες δ' ἂν οἱ πάσσαλοι ὐκ ἔχοισιν ἴσην τὴν ἐπιφάνειαν κατὰ τὸ ὅλον ὕψος, ἀλλὰ μείζονές εἰσι κάτωθεν, ὥστε κρατεῖν δύνασθαι τὸ πῦρ καὶ ἀνέμου ἐμπνέοντος ἐπανάπτεσθαι. Εἰ δὲ νηνεμία κατὰ τὸν τῆς ἐργασίας καιρὸν ἢ τόπον εἴη, συμβαλλέσθω-

lateritiorum combustione.

Apollodor. Poliorc. p. 150, l. 6 sqq.

Apollodor. Poliorc. p. 151, l. 1 sqq.

Cod. B. fol. 168 v°.

7. δᾷδες] δάδις B. ‖ 9. ἐπαλειφέντα] ἐπαλιφέντα B. ‖ 11. πυκνότητι] πυκνήσητι B. ‖ 12. πρήματα] sic B. Scripserat primum librarius πρήμματα. ‖ 15. ἐξ ἴσου] ἐξίσου B. ‖ 21. μείζονές εἰσι] ἔχουσι προσοχὴν κάτωθεν Apollodor. (p. 151, l. 10).

Apollodor. Poliorc. p. 159, l. 1-5.

σαν κάλαμοι πεπυπημένοι δι' ὅλω ἔσωθεν, οἵοις οἱ ἰξευταὶ ἔχουσιν, ἀσκώμασι χαλκικοῖς ἐμφυσώμενοι· ποὸς ὃν γὰρ ἂν τις ἐθέλῃ μεταφέρονται τόπον ϗ ἀνάπλοισι τὸ πῦρ, σιδηροῦν αὐλίσκον ἐμποθεν τῶ πυρὸς ἔχοντες. Καὶ τὸ ζῆμα ὑποκειται.

Ind.

Fig. LXXXIX.



Cap. IX.

De testudinibus arietem gestantibus.

Τῆς συντρήσεως ἐπὶ τῆ ὑποσυλώσει ϗ ἐκκαύσει τελεσθείσης ϗ τῶ τείχους ἀκλινῶς ἠρασμένου ϗ ἀτρεμοῦντος ἐπὶ τῷ συμπάχῳ τῆς πλινθίνης οἰκοδομῆς τεχνουργήματι, κριομαχεῖν ἀνάγκη. Εἰ γὰρ ϗ ὄκλυπος ϗ ἀνίσχυρος ἡ τῶ κριοῦ ποὸς τὴν πλίνθον γίνεται πληγή, λακκίζουσα μᾶλλον διὰ τὸ χαῦνον ϗ μαλακὸν, ἢ σείουσα ϗ ῥηγνύουσα διὰ τὸ σκληρὸν ϗ ἀντίτυπον ὡς ἐπὶ λίθων, ἀλλ' οὖν διὰ τῆς ποσγενυίας κάπωθεν ἐργασίας ἀπονῆσαν ποὸς τῆ βάσει τὸ τεῖχος οὐ δυνήσεται ἀντέχειν ποὸς ζὰς συνεχεῖς τῶν κριῶν κεραύσεις, ἀλλὰ τῆ βίᾳ πληθόμενον συντρήσει τὴν κλίσιν εἰσδέξεται.

5 Cod. B fol. 169 r°.

6. ἠρασμένου] ἠραμένους B correctum in ἠρασμένου. ‖ 9. λακκίζουσα] sic B, qui ponit infra λακίζουσα. (Vid. p. 229, l. 19 ed. nostræ.) ‖ 11. κάπωθεν] κάθωθεν B correctum in κάπωθεν. ‖ 12. ἀντέχειν] ἀντίχειν B. — κριῶν] κιῶν B.

Ind. Τὰς δὲ συμβολὰς καὶ συνδέσεις τῶν κατὰ μῆκος συμβεβλημένων κριῶν, τάς τε περὶ κῶλα αὐτῶν καὶ τὰς ἐπὶ τῶν μονοξύλων κατὰ διάστασιν ἀνηκούσας ἀρτήσεις ἐπί τε κριοφόρων χελωνῶν πύργων τε καὶ τῶν διπλῶν κλιμάκων, καὶ ἔπ τὰς δι' αὐτῶν πρὸς τὸ τεῖχος γινομένας εὐεργεῖς διαβάθρας, πρὸς τὴν ἁρμόζουσαν ἐφεξῆς ἑκάστῳ ἐργασίαν, ἐπὶ τῆς προκειμένης πραγματείας λεπτομερῶς διασαφήσαντες ἐξεθέμεθα.

Ἐὰν τάχιον μετὰ κριῶν θελήσωμεν τείχει ἢ πόρτας ῥηγνύειν καὶ διασπᾶν, κριοφόροις ποιήσομεν χελώνας τετρατρόχοις ὑψηλάς, *Apollodor. Poliorc. p. 153, l. 8 sqq.* ἄνωθεν ὀλύσεις ἢ φοινία εὔτονα κατὰ πάχος ἔχουσας τὰ τὸν κριὸν βαστάζοντα καὶ ἀνέχοντα· ἀφ' ὑψηλοῦ γὰρ βαστζόμενος ὁ κριὸς πλέον ὄπισθεν διάστημα πρὸς τὴν κίνησιν λαμβάνει, καὶ ἐκ μακροῦ ἐπφερόμενος καὶ ἐνσειόμενος πλέον ἐνδυναμοῦται, καὶ προσκρούων τῷ τείχει βιαίαν καὶ ἰσχυρὰν ἀποτελεῖ τὴν πληγήν. Ἔστω δὲ τῷ εἴδει ὑψηλὴ ἡ χελώνη καὶ μὴ ὑποῦπον μεγάλη, ἵνα πρὸς *Apollodor. Poliorc.* Cod. B. fol. 169 r°. τὴν κίνησιν εὐπαράγωγος ᾖ, διπλάσιον τὸ ὕψος τῆς πλάτους ἔχουσα, *p. 154, l. 1 sqq.* τὸ δὲ μῆκος τῆς ὕψεις ἴσον ἢ μικρῷ ἔλασσον, ἵνα ὀξύρρυπος καὶ ἐπιμήκης εἴη, ὡς ἂν τὰ ἐν αὐτῇ ἐπιπίπτοντα βάρη πλαγιαζόμενα παρεκτρέχῃ κάτωθεν. Κατασκευάζεται δὲ οὕτως. Ζυγὰ δύο καὶ δύο λάθενται μήκοις ὄντα ἀνὰ ποδῶν $\overline{\text{ΚΔ}}$, διεζῶται ἀπ' ἀλλήλων

3. κατὰ διάστασιν] καταδιαστασιν uno verbo B. ‖ 6. ἐφεξῆς] ἐφ' ἑξῆς B. ‖ 8. θελήσωμεν] θελήσομεν B. — πόρτας] πόρδας B. Est vocabulum latinum *porta* a Byzantinis usurpatum. Ponit πύλην Apollodorus in Poliorceticis : Ἐὰν κριῷ θέλωμεν πύργον ἢ πύλην ἢ τεῖχος σεῖσαι. (Vid. p. 153, l. 8 ed. nostræ.) ‖ 9. χελώνας] χελῶνας B. — τετρατρόχους] emendavi. πετρατρόχους B. Ponit ὑποτρόχους Apollodorus (p. 153, l. 9). ‖ 10. ὀλύσεις] ἀλύσεις B. ‖ 11. βαστάζοντα] βαστάζοντας B. ‖ 17. ὀξύρρυπος] sic B, qui ponit infra ὀξύρρυπος (vid. p. 227, l. 4 ed. nostræ). ἵνα ὀξεῖαν τὴν ῥάχιν ἔχῃ ponit Apollodorus in Poliorceticis (p. 154, l. 3). ‖ 20. ἀπ' ἀλλή-

ποδῶν οὐκ ἔλασσον δώδεκα· καὶ πρὸς αὐτὰ ἐμβάλλονται ξύλα δακτύλων κατὰ πάχος δώδεκα, πλάτους ποδὸς οὐκ ἔλαττον, εἴκοσι τεσσάρων ποδῶν πρὸς ὕψος, ἀριθμῷ ὄντα ὀκτὼ, τέσσαρα καὶ τέσσαρα, ἀφ' ἑκατέρων τῶν πλαγίων μερῶν ἐφιστάμενα· συννεύοντα δὲ ἄνωθεν κατὰ κορυφὴν συμβάλλει ἀλλήλοις, περιλαμβάνοντα ξύλον, ὅ ἐστι ῥάχις τῆς χελώνης, μακρότερον τοῦ περὶ τὰ ζυγὰ μήκους, καὶ παρεξέχον ἔμπροσθεν δι' ἃς προϊόντες λέξομεν αἰτίας. Καθ' ὃ δὲ μέρος τὴν χελώνην προσνεύειν βουλόμεθα, κατὰ μέσους τοὺς ὀρθοστάτας τούτοις ἄλλα ζυγὰ προσηλούσθω, καὶ ἐκ τοῦ ἔσωθεν μέρους ὑποβεβλήσθωσαν παραστάται ἀντέχοντες καὶ στηρίζοντες τὰ μέσα ζυγὰ καὶ τὴν ῥάχιν· τῇ δ' ἔξωθεν ἐπιφανείᾳ σανίσι κατὰ πάχος τετραδακτύλοις οἱ ὀρθοστάται σκεπέσθωσαν. Καὶ οὕτως συντελεῖται τὸ σχῆμα. Ἀπὸ δὲ τοῦ ἐδάφους τῶν ἔσω ζυγῶν ὑποστυλούσθω τὰ ἔξω ξύλοις ὀρθοῖς ἀκλινέσι κατὰ κάθετον οὖσι· τὸ δὲ μεταξὺ κένωμα τὸ περὶ τὰ κάτω ζυγὰ, τουτέστι τὸ διάστημα, τροχοὺς τέσσαρας ἐχέτω τοὺς ἀνέχοντας καὶ βαστάζοντας τὸ ὅλον περὶ τὴν χελώνην σύμπηγμα. Ἵνα δὲ μὴ ἀνοίγηται τὰ κάτω ζυγὰ, περιτομίδας προσλάβοι οὐκ ἔξω τομῆς

Apollodori Poliorc. p. 155, l. 1 sqq.

λων] ἀπὸ ἀλλήλων B, sed librarius litteram ο expunxit. ‖ 5. συννεύοντα] συνεύοντα B. ‖ 6. χελώνης] χελώης B. ‖ 7. παρεξέχον] παρεξύχον B. ‖ 9. τούτοις] τούτου B. τούτοις ponit M in Apollodori Poliorceticis (p. 155, l. 3 not. ed. nostræ). ‖ 11. μέσα] sic B marg. μετὰ B. ‖ 12. σανίσι] σασίσι B. ‖ 14. τὰ ἔξω] τὰ ἔσω primum scripserat B, sed postea correxit ἔξω. Inter ambas scripturas hærent quoque codices in Apollodori Poliorceticis, nam ἔσω ponunt MV, sed ἔξω correxit P², qui ἔσω in marginem rejecit. (Vid. Apollodori Poliorcetica, p. 155, l. 8 ed. nostræ). ‖ 18. περιτομίδας] sic B. Sic et codex Apollodori vetustissimus M, sed περιστομίδας ponunt PV, unde habuerunt codices recentissimi et Th. (Cf. Apollodori Poliorcetica, p. 155, l. 11 ed. nostræ.) — προσλάβοι] sic B. λήψεται ponit Apollodorus (p. 155, l. 11 ed. nostræ).

Ined. γινομένας, ἀλλὰ χελωνίων προσηλώσει κρατούσας, ὡσανεὶ γρον- Apollodor. Poliorc.
θαρίων τινῶν περικεκομμένων, καὶ ἡμισφαιρίων ἐγγεγλυμμένων p. 155, l. 19 sqq.
C. 4. B fol. 179 r°. παρομοίων τοῖς ἐπὶ τῶν στροφίγγων τῶν θυρῶν τιθεμένοις, αἱ βά-
σεις ἔσονται τῆς ὀξυρρήτου χελώνης. Γίνεται δὲ ὅτε ἀμβλυτέρα καὶ
ταπεινοτέρα ἡ τῆς χελώνης στέγη, ὅταν ἐπὶ μεσοστατῶν τῶν ἐπὶ τὰ
ζυγὰ ὀρθίων ἑστώτων ἄνωθεν προστεθῶσιν οἱ λεγόμενοι συγκύπται
καὶ τὴν ἀνωτάτην τοῦ ἀετώματος περιλάβωσι ῥάχιν, μακροτάτου
δηλονότι τοῦ κριοῦ ὄντος καὶ τῆς χελώνης πόρρω τοῦ τείχους ἀφεστώ-
σης. Εἰ γὰρ ἐλάσσων ὁ κριὸς κατὰ μῆκος τύχῃ καὶ ἡ χελώνη τοῦ
τείχους ἔγγιον εἴη, οὐ δυνήσεται ἀντέχειν πρὸς τὰ ἐπικρημνιζόμενα
καὶ πρὸς αὐτὴν ἐπιπίπτοντα βάρη διὰ τὸ τῆς στέγης ταπείνωμα,
ἀλλὰ ῥῆξιν ἢ θραῦσιν ἐπὶ ταῖς τῶν ἁρμονιῶν λαβοῦσα συμβο-
λαῖς, ἐπισφαλὴς ἑαυτῇ τε καὶ τοῖς κριομαχοῦσι γενήσεται. Τὴν δὲ
ὑπὸ τῶν προειρημένων παρορθίων μονοξύλων ἐπιλαμβανομένην
ἄνωθεν ῥάχιν χρὴ παρέξειν ἔμπροσθεν κατὰ πρόσωπον τοῦ τείχους,
ἵνα ἐπ' αὐτὴν προστέγασμα ᾖ καὶ τὰ ἐπὶ τῷ κριῷ πεμπόμενα
προσδέχηται· εἰ γὰρ οἱ ἀπὸ τοῦ τείχους καταφερόμενοι μέγιστοι
λίθοι καὶ τὰ πλάγια ξύλα τὰ ἐξ ἴσου ἰσοβαρῶς καὶ ἰσοζύγως
κατερχόμενα ἀστέγαστον τύχωσι τὸν κριὸν τῷ τείχει ἐπιφερόμενον,
εἶτ' αὐτὸς ὁ κριὸς περινεύσας διασπασθήσεται, ἢ τοὺς κινοῦντας
ἀπορρίψει καὶ διαφθερεῖ. Τοιαύτη μέν ἐστιν ἡ ἔμπροσθεν χελώνη

1–2. γρονθαρίων] de hoc verbo confer Apollodori Poliorcetica (p. 178, l. 4 not. ed. nostræ). ‖ 2. ἐγγεγλυμμένων] scripsi ex conjectura. ἐγγεμμένων B. Vertit Barocius *insculptorum*. ‖ 4. ὀξυρρήτου] sic B, ubi alias scriptum ὀξύρρυτος (vid. p. 225, l. 17). Hoc loco vertit Barocius *acutum habentis dorsum testudinis*. ‖ 6. ἑστώτων] ἑστώτων B. ‖ 12. ἁρμονιῶν] ἁρμομιῶν primum scripserat B, sed correxit. ‖ 16. προστέγασμα] προστέγαισμα B, unde mutavit in προστέγεισμα L⁶. ‖ 17. μέγιστοι] μεγίστοι B.

ἡ ϰὴ τὰς βασαγὰς τῦ ϰριῦ ϰατὰ διάσασιν ἔχουσα. Ἡ δὲ δευ- Incl
τέρα ταπεινοτέρα ποὸς ὕψος ϰὴ ἐλάσσων· ϰὴ ἄλλαι δύο ϰατ-
όπιθεν ἐπ ἐλάσσονες· ποὸς ἀσφάλειαν γὰρ παρόδου ἀναγϰαῖαι
τυγχάνουσι. Πλείονας δὲ [δεῖ] αὐτὰς εἶναι ϰὴ μιϰράς, ὡς ποοεί-
πομεν, διὰ τὸ εὐϰόπως ποοσάγεσθαι ϰὴ ὀπ μιϰρῶν συμπήγνυσθαι
ξύλων, ϰὴ μὴ μίαν μεγίστην διὰ τὸ ὀπ μεγάλων ϰαὶ δυσευρέτων Cod. B. fol. 170 r°.
γίνεσθαι ϰὴ διὰ τὸ βραδέως ϰὴ δυσϰόπως παράγεσθαι. Τὰ δὲ
χήματα ϰατὰ τάξιν ὑποϰείται.

Apollodor. Poliorc. p. 156, l. 1-9.

Fig. XC.



Καὶ δεῖ εἰδέναι ὅτι ὑπὸ τῆς ἔμπροσθεν ϰαὶ μείζονος χελώνης
βασαζόμενος ὁ ϰριὸς ἐπὶ πλέον ὑψοῦται ϰατὰ ποόσωπον τῦ τεί- 10
χους, ἐπὶ δὲ τῶν ὄπισθεν ταπεινοῦται· ϰαὶ γὰρ ἀνωφερῶς ϰινού-
μενος, σφοδροτάτην ἐπὶ τὰ ἀνώτερα τῶν τειχῶν ἀποτελεῖ τὴν πλη-
γήν· ἐπὶ δὲ τὰ ϰάτω συγϰύπτων, ἀδυνεσάτην ϰὴ ἔϰλυτον, ἐνίοτε δὲ
ϰὴ ἐποφαλῆ.

2-3. ϰαπόπισθεν] ϰατ' ὄπισθεν B. ‖ 3. ἔπ] ἐπὶ B. ‖ 4. πλείονας] πλείονες B. — δεῖ] supplevi ex conjectura, nam omittit B. Πλείονας δὲ θέλομεν εἶναι ϰὴ μιϰρὰς διὰ τὸ εὐάγωγον ϰὴ εὐσύστατον ponit Apollodorus in Poliorceticis (p. 155, l. 15-16 ed. nostræ). ‖ 8. χήματα] σήματα B. Correxit in χήματα L[a].

Cap. X. De quibusdam quæ in omnibus testudinibus observanda sunt.

Ἐν ἁπάσαις δὲ ταῖς χελώναις ἦλοι πλατυκέφαλοι, ὡς πρόσθεν εἴρηται, ἄνωθεν ἐμπεπασσάλωσαν πρὸς τὰ τῆς στέγης πλάγια καὶ κατωφερῆ μέρη ἄχρι τῶν ἡμίσεων αὐτῶν, καὶ τὸ διὰ μέσου ἀνεσηκὸς ἀναπληρώσω πηλοῦ λιπαροῦ καὶ κολλώδους μετὰ τριχῶν μεμαλαγμένου καὶ ἀδιαλείπτου συντηρουμένου. Πρὸς δὲ τοὺς προχοὺς τοὺς βαστάζοντας τὴν χελώνην ἐπὶ τὰ κάτω ζυγὰ σφῆνας εὐμεγέθεις ὑποθεῖναι ἀφ' ἑκατέρων τῶν μερῶν ὑπεμβαίνοντας, ὥστε ἀντέχειν πρὸς τὸ τοῦ ὕψους μέγεθος· αἱ γὰρ τῶν προχῶν περόναι μόναι καὶ μάλιστα αἱ περὶ ἕκαστα τὰ ζυγὰ διερχόμεναι, δίκην ἀξόνων βραχεῖαι οὖσαι, οὐ δυνήσονται βαστάσαι τὴν χελώνην, οὐδὲ ἀσφαλῶς αὐτὴν ἱσταμένην ἕξομεν πρὸς τὴν μέλλουσαν γίνεσθαι τοῦ κριοῦ ἐπικίνησιν. Ὑποβάλλονται δὲ κάτωθεν οἱ σφῆνες, οὐ μόνον τὸ τοῦ ὕψους ἀντεχόμενοι βάρος, ἀλλὰ καὶ τὴν τῶν προχῶν κωλύοντες παρακίνησιν. Ὅταν δὲ θελήσωμεν ἐπικινῆσαι τὴν χελώνην, τοὺς κάτω πεπήγοτας ὑποχαυνώσομεν σφῆνας. Καὶ δεῖ εἰδέναι ὅτι τὰ λίθινα τείχη τάχιον ἐνοσίησαι καὶ ῥήγνυται τῶν πλινθίνων· διὰ γὰρ τὸ χαῦνον καὶ μαλακὸν τῆς πλίνθου ἡ ἐκ τοῦ κριοῦ γινομένη πληγὴ ἀσθενὴς ἐστι καὶ ἔκλυτος, βαθύνουσα τὴν πλίνθον καὶ λακίζουσα [μᾶλλον] ἢ ῥηγνύουσα καὶ διασπῶσα· ὁ δὲ λίθος πρὸς τὴν τοῦ σιδήρου σκληρότητα ἀντίτυπος ὢν.....

Apollodor. Poliorc. p. 156, l. 3-p. 158, l. 1.

1. Ἐν] sic B. ἐν l.ª. || 2. ἐμπεπασσάλωσαν] ἐμπασσάλωσαν B. || 11. ἕξομεν] ἔξομεν B. || 15. ὑποχαυνώσομεν] ὑποχαυνώσωμεν B. || 18. βαθύνουσα] βαθύνουσαν B. || 19. λακίζουσα] sic B, qui ponit alibi λαικίζουσα (p. 224, l. 9). — μᾶλλον] om. B. Supplevi ex Apollodori Poliorceticis, ubi legitur: Ἡ γὰρ μαλακότης τῆς πλίνθου ἀκλύει τὴν πληγὴν καὶ βαθύνει μᾶλλον ἢ σείεται. (Vid. p. 157. l. 7-8 ed. nostræ.) || 20. ἀντίτυπος ὤν] Hic est lacuna, quæ in codice non indicatur. Quanta autem fuerit hæc lacuna, hodie conjicere non licet. Attamen notandum est ea quæ desiderantur fere conve-

Cap. XI. De ariete et arietaria machina secundum Hegetorem Byzantium.

Οἱ δὲ περὶ Ἡγήτορα τὸν Βυζάντιον τὸν μέγιστον κριὸν πηχῶν ἑκατὸν εἴκοσι κατὰ μῆκος ἐποίουν, ἐκ δὲ πτέρνης κατὰ μὲν πάχος ποδιαῖον, εἰς δὲ πλάτος παλαιστῶν πέντε· ἐπὶ δὲ τὸ ἔμπροσθεν ἄκρον συνῆγον αὐτὸν εἰς πλάτος ποδιαῖον καὶ πάχος τεσσαράλαιστον· ἕλικας σιδηρᾶς τέσσαρας ἀποτεινομένας ἐπὶ πήχεις δέκα ἔμπροσθεν προσηλοῦντες, καὶ ὅλον ὑποζωννύοντες τείσὶ χοινίοις κατὰ πάχος γυρόθεν ὀκταδακτύλοις, καὶ βυρσοῦντες αὐτὸν κύκλῳ, ἀνελάμβανον κατὰ μέσον ἐκ τειῶν μὲν διαλειμμάτων, βασμάτων δὲ τεσσάρων. Τὰ δὲ χοινία τὰ ἐκ τῶν ὀνίσκων τῶν ἐκ τῆς κριοδόχης ἀνέχοντα καὶ ἐπιφέροντα τὸν κριόν, τὰς ἀρχὰς εἶχον ἀλύσεσι σιδηραῖς πεπλεγμένας. Ἐποίουν δὲ καὶ ἐπιβάθραν, ἐπὶ τῇ προφορᾷ τοῦ κριοῦ σανίδος ἔμπροσθεν ἐφηλωθείσης, καὶ δίκτυον πεπλεγμένον ἐπὶ πάχος ἱκανὸν κατὰ διάσασιν δακτύλων τεσσάρων ἢ καὶ πλείω τὰς ὀπὰς ἔχον, πρὸς τὸ εὐκόλως ἀναβαίνειν ἐπὶ τὸ τεῖχος. Ἀνήρτων δὲ αὐτὸν καὶ ἐκίνουν ἐπὶ ὀκταστόχου χελώνης, κατὰ μὲν τὸ τοῦ ἐχαείου κάτωθεν μῆκος πήχεις ἐχούσης τεσ-

Athen. Mechan. p. 21-25.

Cod. B fol. 171 v°.

nisse cum iis quæ leguntur in Apollodori Poliorceticis (p. 158, l. 2-p. 161, l. 8 ed. nostræ) ubi δέσεις κριῶν enarrantur. Confer quæ de eodem argumento jam antea dixit ipse auctor noster (p. 225, l. 1-7). ‖ 1. Ἡγήτορα] ηγήτορεαν B. Confer τῆς δὲ ὑπὸ Ἡγήτορος τοῦ Βυζαντίου κυρημένης χελώνης apud Athenæum mechanicum (pag. 21, l. 2 ed. nostræ). Hegetorem Byzantium laudat Vitruvius, qui secundum quosdam codd. etiam eum *Hagetor* dorice vocat. (Vid. ibid. not.) Male igitur Barocius vertit *principem Byzantium*, ut recte monuit vir doctissimus T. H. Martin. ‖ 5. ἕλικας] ἔλικας B. ‖ 6. ὑποζωννύοντες] ὑποζωννύντες B. ‖ 11. ἀλύσεσι] ἀλύσεσι B. — πεπλεγμένας] πεπλεγμέναις B. Emendavi hic et apud Athenæum mechanicum. (Vid. p. 24, l. 10-p. 25, l. 1 ed. nostræ.) ‖ 12. ἐφηλωθείσης] ἐφ' ἡλωθείσης B. ‖ 14. ὀπὰς] ὀπὰς B. ‖ 16. ἐχαείου] χαείου B. Ponunt etiam χάειον codd. in Athenæo mechanico, ut videre est pag. 21, l. 3 not. ed. nostræ. Quippe littera initialis E in ejusmodi vocabulis hodie etiam ex pronuntiandi ratione quæ apud Græcos viget prætermittitur. Inde fluxit varietas lectionum in codicibus, qui εἰχάειον, ἰχάειον, χάειον, atque etiam χαείου (ex casibus obliquis χαείῳ, χαείῳ) habent.

σαρακονταδύο, τὸ δὲ πλάτος εἰκοσιοκτώ. Καὶ τὰ ἐπὶ τῶ ἐχαείω ὡὲς ὕψος πηγνύμενα κατὰ τὰς γωνίας τέσσαρα σκέλη ἐκ δύο ἕκαστα συνημμένων ξύλων ἐποίουν, μῆκος ἔχοντα ἀνὰ πηχῶν $\overline{\text{ΚΔ}}$, καὶ πάχος παλαιστῶν πέντε, κατὰ δὲ πλάτος πηχαῖα· ἄνωθεν δὲ τῆς κριοδόχης ὠρεάκιον ἐπήγνυον οἱονεὶ περίφραγμα, ὥστε ὡὲς αὐτὸ ἀσφαλῶς δύνασθαι ἑστάναι τοὺς ἐποπτεύοντας τὰ κατὰ τῶ κριῶ ὑπὸ τῶν ἐναντίων βαλλόμενα. Τὸν δὲ ζιοῦτον κριὸν ἐξαχῶς

Athen. Mechan. p. 21-25.



Fig. XCI

1. ἐχαείω] χαείω iterum B. ‖ 3. ἑκασα] ἑκασας B. ‖ 5. ὠρεάκιον] sic B atque etiam codd. in Athenaeo mechanico. (Cf. pag. 23, l. 9 not. ed. nostræ.) ‖ 6. ἑστάναι] scripsi ex MPV in Athenaeo mechanico (vid. ibid.) ἑστάναι B. — ἐποπτεύοντας] sic B. ἐφοπτεύοντας MF in Athenaeo mechanico (p. 23, l. 10 ed. nostræ). — τα|πὰς B.

Athen. Mechan. p. 26, l. 1-5.

ἐκίνουν, καθαιροῦντες ἀπὸ ἑβδομηκονταπήχους ὕψους, καὶ πρὸς τὰ πλάγια πάλιν ἐπὶ πήχεις ἑβδομήκοντα παρασύροντες· ἐκινεῖτο δὲ ὑπὸ ἑκατὸν ἀνδρῶν προσφερόμενος· τὸ δὲ κινούμενον σύμπαν βάρος ταλάντων ἦν ὡσεὶ τετρακισχιλίων. Καὶ τὸ σχῆμα ὑπόκειται.

Καὶ δεῖ εἰδέναι ὅτι τῶν κριῶν οἱ μὲν ὑπὸ πλήθους ἀνδρῶν οἰακίζονται κατά τινας τῶν πάλαι μηχανικῶν, οἱ δὲ ἐξ ἀντισπάστων ἐφέλκονται, καὶ ἕτεροι ἐπὶ κυλίνδρων προωθοῦνται. Ἔστι δὲ ὅτε αὐτοὺς καὶ δι' ὀνίσκων περιστρεφομένων τήν τε προσαγωγὴν καὶ ἀναστροφὴν ποιουμένους τὴν πλῆξιν ἀπεργάζεσθαι. Ἔξεστι δὲ τῷ τεχνίτῃ πρὸς τὰ τῶν κριῶν μεγέθη καὶ τὴν ἀνήκουσαν τοῦ ἔργου χρείαν ἐπινοεῖν καὶ τὴν κίνησιν.

Ined.

Cod. B fol. 172 r°

Cap. XII. De constructione scalarum quæ spectatores vocantur.

Ἐὰν θελήσωμεν τὸ σύμπαχον τῶν τειχῶν καταμαθεῖν καὶ τὰς γινομένας τῶν πολεμίων πράξεις καὶ τὸ πλῆθος ἐκ τῶν ὄπισθεν σκοπῆσαι, ἐργασίας καὶ συσκευὰς ἡμερινάς τε καὶ νυκτερινὰς ἔνδον τοῦ τείχους περὶ τὴν πόλιν πραττομένας θεάσασθαι, σκοπὸν κατασκευάσομεν τοιοῦτον. Δύο ξύλα τετράγωνα ἑτεροπλατῆ λαβόντες, πλάτος ἔχοντα ἀνὰ δακτύλων δώδεκα, τὸ δὲ πάχος ἀνὰ ὀκτὼ, ὀρθὰ ἐπιστήσομεν τὸ μὲν ἓν μεταξὺ δύο κατὰ κρόταφον κειμένων ἤτοι κατὰ πάχος ἑτεροπλατῶν καὶ αὐτῶν ὄντων, ἀποκεχωρισμένων δὲ ἀπ' ἀλλήλων ὅσον κατὰ πάχος χωρηθῆναι τὸ

Cod. B fol. 172 v°

Apollodor. Poliorc. p. 161, l. 9 sqq.

1. καθαιροῦντες] sic B. καθαίροντες ponunt MF in Athenæo mechanico (p. 26, l. 2-3 not. ed. nostræ). — ἑβδομηκονταπήχους] sic uno verbo legendum. Male ἑβδομήκοντα πήχους dividit B. Confer notam ad Athenæum mechanicum (pag. 26. l. 3 ed. nostræ). ‖ 8. ἐφέλκονται] ἐφέλκοντο B. ‖ 11. μεγέθη] μεγέσθη B. ‖ 17. κατασκευάσομεν] κατασκευάζομεν primum scripserat B. ‖ 19. κρόταφον] κότραφον B.

Ind. ὀρθόν· ὡσαύτως δὲ καὶ τὸ ἕτερον πρὸς ἄλλα δύο ἴσα τε καὶ ὅμοια καὶ ὁμοίως κείμενα· ἀπεναντίον δὲ τῶν κειμένων δύο διπλῶν κατὰ μέσον ἄλλο πρὸς τῇ γῇ τιθέσθω ἀντικείμενον καὶ συμβαλλόμενον τοῖς κειμένοις διπλοῖς πρὸς τοῖς ἐφεστῶσι δυσὶν ὀρθοῖς· καὶ σχηματιζέσθω ἡ βάσις καθάπερ ἦτα λυτὸν ἐκ πλαγίων διπλόγραμμον· ἀπ' ἄκρων δὲ τῶν κειμένων δύο διπλῶν τέσσαρα παραστήσομεν ξύλα, δύο ἐφ' ἑκάστῳ, ἐντιβαίνοντα ἄνωθεν καὶ ἐπιστηρίζοντα τὰ ἐφεστῶτα ὀρθά· ταῦτα δὲ ὀρθὰ δεχέσθωσαν κατὰ μέσον δύο ἕτερα ξύλα πλάτους ὄντα ἀνὰ δακτύλων ὀκτὼ, κατὰ δὲ πάχος ἀνὰ ἓξ, ἀπ' ἀλλήλων ἀπέχοντα ποδῶν οὐκ ἔλασσον τριῶν. Ταῦτα δὲ τὰ τέσσαρα τρυπάσθωσαν ἐπ' εὐθείας πρὸς ἄλληλα, καὶ συμπερονάσθωσαν τὰ μὲν ὀρθὰ πρὸς τὸ δίμοιρον αὐτῶν ἐπὶ τὰ ἄνω, τὰ δὲ ἐμβαλλόμενα ἐπὶ τὸ ἕκτον αὐτῶν μέρος τὸ πρὸς τὰ κάτω. Κατερχέσθωσαν δὲ ἀπὸ τῶν ὀρθῶν καὶ πάλιν ἀνερχέσθωσαν, ὑπὸ περόνης εὐλύτως φερόμενα· τρυπάσθωσαν δὲ καὶ αὐτὰ πάλιν ἀπὸ τῆς περόνης ἐπὶ τὸ δίμοιρον αὐτῶν καὶ ἔτι πρὸς τὸ ἐπίλοιπον ἕκτον μέρος· δίμοιρον δὲ τοῦ ὅλου μήκους ἐνταῦθα νόει τὸ μεταξὺ τῶν τρημάτων πρὸς τὰ ἄκρα γινόμενον, τουτέστι τὸ πρὸς τὰ δύο ἕκτα, ἅπερ ποιοῦσι τρίτον μέρος τοῦ ὅλου μήκους. Ταῦτα τοίνυν κατερχόμενα κατὰ μέσον δεχέσθωσαν κλίμακα ἐλαφρὰν πεπερονημένην δυσὶ περόναις πρὸς τὰς ῥηθείσας τρή-

Apollodor. Poliorc. p. 169, l. 5 sqq.

Cod. B fol. 173 r.

2. ἀπεναντίον] ἀπεναντίων B. ‖ 3. ἄλλο] ἄλλω B. ‖ 4. ἐφεστῶσι] ἐφ' ἑστῶσι B. ‖ 5. ἦτα λυτὸν] ηταλιτον uno verbo B. Vertit Barocius *basis ipsa configuretur instar græcæ litteræ* H *solutæ*, ubi littera soluta H opponitur litteræ ligatæ η. — διπλόγραμμον] sic B. Recte Barocius *habentis latera duplicibus lineis constantia.* ‖ 11. ἐπ' εὐθείας] ἐπευθείας uno verbo B. ‖ 13. ἕκτον] ἔκτον B. ‖ 15. περόνης] περώνης B. — εὐλύτως] εὐμύτως B. ‖ 21. περόναις] περώναις iterum B.

σεις. Οἱ δὲ τὴν κλίμακα ποιοῦντες μηροὶ ἔστωσαν κατὰ πλάτος δακτύλων μὴ ἔλασσον ἓξ, ἐπὶ δὲ πάχος τεσσάρων. Ἀπὸ δὲ τῆς κάτω περόνης τῆς ἐπὶ τῶν ὀρθοστατῶν διεκβληθείσης ἐπὶ τὸ ἀναχθὲν ἕκτον μέρος τῶν καταχθέντων, ἕλκυστρον ἐμβαλλέσθω βαθμίδα τινὰ περιλαμβάνον ἢ σχοινίων δεσμὸν ἢ πρὸς κρίκους σιδηροῦς διὰ τὴν ἕλξιν ὑπεμβαῖνον· ξύλον δέ ἐστι περικαμπές τε καὶ εὔτονον, μήκους ὡσεὶ ποδῶν ὀκτὼ, πρὸς τὸ ἱκανῶς ἑλκύειν καὶ κατάγειν διὰ μέσου τῶν ὀρθίων τὸ ἀναχθὲν ἕκτον μέρος· τὸ δὲ ἐγκλιθὲν ὅλον σὺν τῇ κλίμακι εἰς ὕψος ἀνάγει μετάρσιον. Συμβήσεται οὖν, τοῦ μέρους τούτου ὑπὸ τοῦ ἑλκύστρου ἐπὶ τὸ κάτω ἑλκομένου, ὑπὸ τοῦ ἑτέρου παραδόξως εἰς ὕψος ἀρθῆναι τὸν κατάσκοπον, καὶ ὀρθὴν τὴν κλίμακα διαμένειν, διὰ τὸ δυσὶν ἐπεζεύχθαι περόναις. Δεῖ δὲ τὸ κάτωθεν μέρος ὑπὸ τοῦ ἑλκύστρου κρατούμενον, εἰ δυνατὸν, πρὸς τὴν στάσιν ἐπέχεσθαι· εἰ δὲ μὴ, ὑπὸ πλαγίων διερχομένων ξύλων ἢ στροφωματίων παρεξοχαῖς ἐγκλειόμενον κατὰ τὸν τῆς στάσεως καιρὸν ἀτρεμεῖν. Καὶ δεῖ εἰδέναι ὅτι τὸ ὑπερανέχον τρίτον μέρος τῶν ὀρθῶν πρὸς ἀσφάλειαν τῶν ἐγκλινομένων ἀνίσταται· τὸ δὲ ἀνώτερον ἕκτον μέρος τῶν ἐγκλινομένων, ἤτοι τὸ τοῦ μέσου αὐτῶν τέταρτον (ὡς ἀνωτέρω ἐδηλώθη) εἰς ὑποστήριξιν τῆς δισσῶς ἄνωθεν πεπερονημένης ἐλα-

Apollodor Poliorc. p. 162, l. 10 sqq.

Ind.

Cod. B. fol. 173 v°

4. καταχθέντων] καταχέντων B. — ἕλκυστρον] scripsi ex V in Apollodori Poliorceticis (pag. 162, l. 10 ed. nostræ). ἕλκυστρον B. ‖ 5. περιλαμβάνον] περιλαμβᾶνον B. ‖ 6. ἕλξιν] ἕλξιν B. — ἐστι] ἐπὶ scripserat primum B. ‖ 7. ἑλκύειν] ἑλκύειν B. ‖ 10. ἑλκύστρου] ἑλκύστρου B. ‖ 11. παραδόξως] παραδόξω B. ‖ 11-12. κατάσκοπον] κατὰ σκοπὸν dividit B. Ponit σκοπὸν Apollodorus (p. 161, l. 11). ‖ 12-13. ἐπεζεύχθαι] sic MPV in Apollodori Poliorceticis (p. 162, l. 13-14 ed. nostræ). ἐμπεζεῦχθαι ponit B. ‖ 14. ἐπέχεσθαι] ἐπεχέσθαι B. ‖ 15. παρεξοχαῖς] sic uno verbo B, non autem παρ' ἐξοχαῖς. ‖ 20. δισσῶς] scripsi ex conjectura. δυσσῶς B.

φρᾶς κλίμακος· τὸ δὲ κατώτατον αὐτῶν ἕκτον, διὰ τὴν τοῦ ἑλκύστρου πρὸς αὐτὸ ἐμβολὴν, ἐπὶ τῇ γινομένῃ σφοδρᾷ κάτωθεν ἕλξει, ἅμα δὲ καὶ ἐπ' ἀναφορᾷ τοῦ λοιποῦ πενταπλασίου καὶ τῆς κλίμακος, παρείληπται. Ἔστω δὲ καθ' ὑπόθεσιν τὸ ὕψος τῶν ἑστώτων ὀρθίων, ἕως τοῦ διμοίρου αὐτῶν, ὅσον ἐστὶ τὸ ὕψος τοῦ τρίτου μέρους τοῦ τείχους· καὶ ἀπ' αὐτοῦ ἄχρι τοῦ διμοίρου τῶν ἐγκλινομένων, ἤτοι ἐπὶ τῇ πρώτῃ περόνῃ τῆς συμβολῆς τῆς κλιμακος, ὅσον ἐστὶ τὸ τοῦ τείχους ἥμισυ· καὶ αὐτὴ δὲ ἡ κλίμαξ, ὅσον τὸ ἥμισυ· τὸ δ' ἐκ τῶν τριῶν συντιθέμενον ὕψος τρίτῳ μέρει ὑπὲρ τὸ τεῖχος ἀνάξει τὸν κατάσκοπον. Καὶ ἔστι φανερόν. Ἐπεὶ γὰρ τὸ τοῦ τείχους ὕψος σπιθαμῶν ἢ ποδῶν ἢ πηχῶν ἢ τινων ἄλλων καταμετρούντων ὑπετέθη ἑξήκοντα, τὰ πρὸς τῇ βάσει ὀρθὰ ἑστῶτα ἀνὰ τριάκοντα ἔστωσαν· πρὸς δὲ τὸ ὕψος τῶν εἴκοσι τὴν περόνην δεχέσθωσαν· δίμοιρον δὲ τὰ εἴκοσι τῶν τριάκοντα. Καὶ τὰ ἀπὸ τῶν ὀρθῶν κατερχόμενα ἀνὰ τεσσαρακονταπέντε κατὰ μῆκος γινέσθωσαν· ἀπὸ δὲ τῆς ῥηθείσης περόνης ἐπὶ τῇ τῆς κλίμακος πρώτῃ συμβολῇ ἐναπολαμβανέσθωσαν τριάκοντα· δίμοιρον δὲ ταῦτα τῶν τεσσαρακονταπέντε, ὡς ἀνωτέρω προδέδεικται. Ἔστω δὲ καὶ ἡ κλίμαξ ἀπ' αὐτῆς συμβολῆς ἐπὶ τὸ λοιπὸν αὐτῆς ὕψος ἑτέρων τριάκοντα· τὸ δὲ ἐκ τῶν τριῶν ὑψῶν κατ' ἀριθμὸν συναγόμενον ποιεῖ ὀγδοήκοντα· ταῦτα δὲ τῶν ἑξήκοντα τρίτῳ μέρει ὑπερέχωσι· τρίτον ἄρα τὰ $\overline{\text{Κ}}$ τῶν $\overline{\text{Ξ}}$. Γινέσθω δὲ καὶ προστέγασμα ἐπὶ τὸ ἀνώτατον μέρος τῆς κλίμακος ἐκ βύρσης

Apollodor. Poliorc. p. 162. l. 14 sqq.

2. σφοδρᾷ] σφοδρᾶ B. ‖ 5. ἑστώτων] ἑστώτων B. ‖ 6–7. ἐγκλινομένων] ἐγκινομένων B. ‖ 7. περόνῃ] περώνῃ B. ‖ 12. ἑξήκοντα] ἑξήκοντα B. ‖ 13. ἑστῶτα] ἑστῶτα B. ‖ 14. δίμοιρον] διμοιρὸν B. ‖ 15. τεσσαρακονταπέντε] τεσσαράκοντα πέντε dividit B.

Apollodor Poliorc. p. 163. l. 1 sqq.

παχείας τε καὶ εὐτόνου ὡς ἀσπίδος περιχαμφθείσης, ἣ ἐάχιν ὀξεῖαν κατὰ μέσον δεχόμενον καὶ κλίσιν ἐξαρκοῦσαν ἐπὶ τὰ πλάγια, ὡςὲ τὸ ἀπὸ τόξου ἡ σφενδόνης φυλάττεσθαι τὸν κατάσκοπον. Οὐ μικρὰν δὲ βοήθειαν παρέξουσι καὶ χοινίκια λεπτὰ εὔτονα, ἐπὶ τοὺς μηροὺς τῆς ἄνωθεν ἐλαφρᾶς κλίμακος περιειλημμένα, καὶ πεπανυσμένα ἄχρι τῆς τῶν περφνῶν συμβολῆς, μήπως ἡ τοῦ ὕψους παράτασις ἡ λιθοβόλου τυχοῦσα πληγὴ ῥῆξιν ἢ σπάσιν ἐπὶ τοῖς ξύλοις ποιήσηται, καὶ σπάσῃ τὸν κατάσκοπον. Εἰς δὲ τὴν τοῦ σκοποῦ ὀρθίαν καὶ ἀπαρέγκλιτον στάσιν, μέλισσον συμβάλλονται

Fig. XCII.



καὶ χοινίκια τέσσαρα ἐπὶ τὰ ἄκρα τῶν ὀρθοστατῶν περισδεδεμένα καὶ

5. μηροὺς] μηκρους B. ‖ 7. σπάσιν] σπᾶσιν B. ‖ 8. σπάσῃ] scripsi ex conjectura. πάσῃ B.

Ined. ἀπεκτεταμένα ἀπ' ἐναντίας ἀλλήλων, εἰ ἐνδεθήσεται σιδηροῖς ἢ ξυλίνοις πασσάλοις μακρόθεν τῇ γῇ ἐμπησσομένοις, ἵνα μὴ διὰ τὸ ὕψος ἀκροβαρῆσαν περινεύσῃ τὸ ἔργον. Καὶ τὰ σχήματα ὑπόκειται, τό τε κείμενον καὶ τὸ ὠρθωμένον. Apollodor. Poliorc. p. 164. l. 1-4

Cod. B. 5 fol. 174 r. Γίνεται δὲ ἁπλουστέρα ἡ τοῦ αὐτοῦ σκοποῦ βάσις ἐκ τριῶν μόνων ξύλων κατὰ πλάτος τῇ γῇ τιθεμένων, δύο μὲν πλαγίων ἀπ' ἀλλήλων διεστώτων, καὶ ἑτέρου κατὰ μέσον ἀπεναντίον συμβεβλημένου, ὡς ἦτα λυτὸν ἁπλόγραμμον ἐσχηματισμένων· ἐπάνω δὲ τῶν πλαγίων ὑπὸ γλωσσίδος κατὰ μέσον τὰ ὀρθὰ ἐφίστανται· ἐκ δὲ τῶν ἄκρων τὰ πρὸς αὐτὰ ἀντιβαίνοντα τέσσαρα.



Fig. XCIII.

Γίνεται δὲ καὶ ἄλλως· ἐκ τριῶν ξύλων, δύο μὲν πρὸς τῇ γῇ κειμένων, ἀπ' ἀλλήλων δὲ μικρὸν ἀποκεχωρισμένων ὅσον κατὰ πλάτος εἰσδέξασθαι τὰ ὀρθά· τούτων δὲ τῶν κειμένων διαλόξως

1. ἀπ' ἐναντίας] ἀεναντίας B. || 3-4. τὰ σχήματα ὑπόκειται] sic videtur legendum. τάσχη ῡ̄ ponit B. || 4. ὠρθωμένον] ὀρθωμένον B. || 6-7. ἀπ' ἀλλήλων] ἀπαλλήλων B. || 8. ἦτα λυτὸν] ηταλιτον uno verbo B. Vertit Barocius *quemadmodum græca littera* H *soluta*, et addit *duplicibus lineis configurata*, sed corrigendum est *simplicibus lineis*, nam ponit codex ἁπλόγραμμον quod opponitur vocabulo διπλόγραμμον antea usurpato. (Cf. p. 233. l. 5.) || 10. τέσσαρα] litteram numeralem δ̄ ponit B.

ἄνωθεν ἀνακεχαραγμένων, καὶ ἑτέρου ἴσου τε καὶ ὁμοίου καὶ ὁμοίως κάτωθεν ἀνακεχαραγμένου ἐπ' αὐτῶν κατὰ τὴν θέσιν ἐφαρμοζομένου, μεταξὺ τῶν δύο καὶ ἐφ' ἑκάτερα τοῦ ἐπιτεθέντος λοξοῦ, τὰ ὀρθὰ κατὰ πλάτος ἐμβάλλονται· ἀπ' ἄκρων δὲ τῶν κειμένων ἀντιβαίνοντα δύο ἐπὶ τὰ πλάτη τῶν ὀρθῶν καὶ δύο ἀπὸ τοῦ λοξοῦ ἐπὶ τὰ πάχη διαλόξως· ἀλλ' οὐδετέρα τούτων ἐστὶν ἀσφαλεστάτη ὡς ἡ προειρημένη. Τὴν δὲ ἀπ' ἀλλήλων διάστασιν [τῶν] τιθεμένων πλαγίων καὶ τῶν ὀρθῶν ὁ τεχνίτης διορίσει, πρὸς τὴν τοῦ ὕψους σκοπήσας σύνθεσιν τε καὶ συμμετρίαν· ὡσαύτως δὲ καὶ τὰ μεγέθη τῶν ξύλων τῆς τε βάσεως καὶ τοῦ ὕψους ἐπὶ τὰς τρεῖς διαστάσεις κατὰ ἀναλογίαν ἐπαυξήσει τε καὶ μειώσει.

Ined. l. 1-11

Cap. XIII

De constructione turrium secundum Diadem et Chariam Polyidi Thessali discipulos

Athen. Mechan. p. 11, l. 3 sqq.

Διάδης μὲν οὖν καὶ Χαρίας οἱ Πολυείδου τοῦ Θετταλοῦ μαθηταί, οἱ συστρατευθέντες Ἀλεξάνδρῳ τῷ Μακεδόνι μηχανικοί, πρῶτοι τά τε τρύπανα καὶ τὰς διαβάθρας καὶ τοὺς φερομένους διὰ τροχῶν ξυλίνους πύργους ἐξεῦρον· καὶ τοὺς μὲν ἐλάσσονας αὐτῶν πηχῶν πρὸς ὕψος ἐποίουν ἑξήκοντα, τὴν δὲ βάσιν ἐτετραγώνιζον, ἑκάστην πλευρὰν τοῦ τε μήκους καὶ πλάτους ἀνὰ πηχῶν τιθέντες δεκαεπτά, δεκαστέγους αὐτοὺς ποιοῦντες, ἐπὶ δὲ τῇ ἀνωτάτω στέγῃ συναγωγὴν ἰσοτετράγωνον ἀπολαμβάνοντες, κατ' ἀναλογίαν τοῦ τῆς βάσεως πέμπτου μέρους τοῦ λεγομένου ἐμβαδοῦ ἤτοι τοῦ

Cod. B fol. 175 r°

6. οὐδετέρα] οὐδ' ἑτέρα B. ‖ 7. τῶν] om. B. Addidi ex conjectura. ‖ 12. Διάδης μὲν οὖν καὶ Χαρίας] Διάδοχης μὲν οὖν καὶ Χαρίας ponit B. Emendavi ex codice M, cujus lectionem vide in notis ad Athenæum mechanicum. (Cf. p. 10, l. 10 not. ed. nostræ.) — Πολυείδου] scripsi ex codice M. (Cf. Athenæum mechanicum, p. 10, l. 9 ed. nostræ.) Πολυΐδου ponit B. *Polyidis Thetali* vertit Barocius. ‖ 17. πλευρὰν] πλεῦραν B. ‖ 19. ἀπολαμβάνοντες] ἀπολαβάνοντες B.

ὑπὸ τῶν τεσσάρων πλευρῶν περιοικιζομένη χωρίον, ὡς ἐφεξῆς δηλωθήσεται. Τοὺς δὲ μείζονας καὶ ἡμιολίους τούτων πεντεκαιδεκαστέγους ἐποίουν, ὕψος δὲ πηχῶν $\overline{\text{Θ}}$· καὶ ἐπὶ τοὺς διπλασίους εἰκοσαστέγους τὸ ὕψος πηχῶν $\overline{\text{ΡΚ}}$· ἑκάστην δὲ πάλιν πλευρὰν τῆς τῶν διπλασίων βάσεως ἀνὰ πηχῶν $\overline{\text{ΚΔ}}$ ἔστησα. Καὶ μείζονας δὲ καὶ ἐλάσσονας κατ' ἀναλογίαν κατεσκεύαζον, ἐπὶ τὰς τρεῖς διασάσεις τὰ ξύλα αὐξάνοντες ἢ μειοῦντες, τουτέστι κατά τε μῆκος πλάτος τε καὶ πάχος· ὡσαύτως δὲ καὶ τὰς τῶν στεγῶν διαιρέσεις τὸ ὕψος κατεμέριζον συμμετρίαν. Ἑξατρόχους αὐτούς, ἐνίοτε δὲ καὶ ὀκτατρόχους τὸ ἔξωγκον τῆς μεγέθους, ἐποίουν· ἐπὶ πάντας δὲ ἀεὶ τὸ τῆς βάσεως πέμπτον μέρος ἄνωθεν ἐπέτιθουν. *Athen. Mechan. p. 11–19.*

Ὁ δὲ Ἀπολλόδωρος, στενότερον τὸ πρὸς πόδας κατασκευάζων τὸν πύργον, ὑφημίολιον αὐτὸν τῶν ἑξήκοντα πηχῶν καὶ τετράτροχον δηλονότι, ποδῶν τὸ ὕψος ἐμφαίνων ἑξήκοντα· ὅθεν καὶ αὐτὸς ἑκάστην τὴν περὶ τὴν βάσιν πλευρὰν κατὰ μῆκος ποδῶν ἐποίει δεκαέξ, δίχα τῆς ποδιαίας ἐπὶ τὰ ἄκρα παρεξοχῆς, πλάτους ποδὸς ἑνὸς καὶ δακτύλων τεσσάρων, κατὰ δὲ πάχος δακτύλων δώδεκα, διπλᾶ τὰ κάτω ζυγὰ ποιῶν, ὅπου οἱ τροχοὶ τὸ μέσον. Οἱ δὲ μεσοτάται ἐπὶ ταῖς παρεξοχαῖς ἐμβάλλεσθαι μέλλοισι. Ταῦτα τὰ δύο καὶ δύο ζυγὰ κατὰ πάχος ἐπῆει, καὶ μεταξὺ τὸ ὅσα δώ- *Cap. XIV. De constructione turrium secundum Apollodorum.* *Apollodor. Poliorc. p. 164, l. 10 sqq.*

1. ἐφεξῆς] ἐφ' ἑξῆς B. ‖ 4. τὸ ὕψος] πρὸς ὕψος B. ‖ 5. πηχῶν $\overline{\text{ΚΔ}}$ ἔστησα] sic codex B, qui particulam neglexit. Etenim apud Athenæum mechanicum legitur πήχεις $\overline{\text{ΚΓC}}$ (vid. p. 12, l. 1 ed. nostræ) ubi siglum $\overline{\text{C}}$ idem est atque ἥμισυ. ‖ 15. πρὸς ὕψος] πρὸς ὕψεως primum scripserat librarius in codice B, sed correxit in ὕψος.

Apollodor. Poliorc. p. 165, l. 1-10.

δεκα δακτύλων μεσόχωρον εἴτε καὶ μεῖζον ἐπὶ τὰ πλάτη διϊστῶν, ὀρθοὺς ἐπὶ τὰ ἄκρα τοὺς μεσοστάτας ἐμβάλλει μέχρι τοῦ ἐδάφους κατερχομένους, οὓς τινες σκέλη τοῦ πύργου ὠνόμασαν, ποδῶν πρὸς ὕψος ἀνὰ δεκαὲξ ὄντα, πλάτους ποδὸς ἑνὸς καὶ δακτύλων τεσσάρων, κατὰ δὲ πάχος ἀνὰ δακτύλων δώδεκα· ταῦτα πρὸς τοῖς κειμένοις διπλοῖς διὰ κανονίων περιτομίδων τε καὶ χελωνίων ἤτοι ἡμισφαιρίων περὶ τὸν μέσον ἐγγεγλυμμένων καὶ ὡς γρονθαρίων τινῶν ἐκκεκομμένων, παρομοίων τοῖς ἐπὶ τῶν στροφίγγων τῶν θυρῶν τιθεμένοις, περὶ τὴν προσήλωσιν ἀσφαλίζεται, ἵνα μένωσιν ὀρθά. Τοῖς ὀρθίοις τούτοις σκέλεσι μεσοστάταις οὖσιν ἀπὸ τῶν κειμένων διπλῶν ἐπὶ τὰ ἀντικείμενα διπλᾶ ἕτερα ξύλα ἴσα ὄντα κατὰ μῆκος ὡς ἀντιζυγίδας ἐτίθει, ἰσοτετράγωνον τὸ τοῦ πύργου σχηματίζων ἐσχάριον, ἤτοι τὴν βάσιν ἐξ ἴσου περιορίζων, ἵνα οἱ ῥηθέντες τέσσαρες μεσοστάται ἴσον ἀπ' ἀλλήλων πανταχόθεν ἀπέχωσιν· ἐφ' ἑκάστῳ δὲ τῶν τεσσάρων δύο παρίστανε ξύλα ἀριθμῷ ὄντα ὀκτὼ, ἰσοπλατῆ τούτων καὶ ἰσοπαχῆ, ὕψους ἀνὰ ποδῶν ἐννέα, ἐφεστῶτα δὲ καὶ παριστάμενα τῶν μεσοστατῶν ἐφ' ἑκάτερα ἐπὶ τὰ κείμενα διπλᾶ, καὶ προσηλούμενα καὶ αὐτὰ ἀσφαλῶς (ὡς προείρηται) πρός τε τὰ ζυγὰ καὶ τοὺς μεσοστάτας· καὶ οὕτως τὰ τρία συνίστανεν ἐν τάξει ὀρθοστάτου ἑνὸς κατὰ μέσον ὑπερανέχοντος. Ταῦτα δὲ τὰ ὀκτὼ παραστάται καλείσθωσαν.

Athen. Mechan. p. 10, l. 10.

Καὶ ἐπεὶ δυσεύρετοί εἰσι διὰ τὸ τοῦ πλάτους μέγεθος οἵ τε μεσοστάται καὶ παραστάται, ἀνάγκη τοῖς περὶ Διάδην καὶ Χαρίαν ἕπε-

12. ἰσοτετράγωνον] ἰσοτεράγωνον B. || 13. ἐσχάριον] σχαρίον B. — ἐξ ἴσου] ἐξίσου B. || 16. ἐννέα] ἐννέα B. || 17. μεσοστατῶν] μεσόστατων B. || 19. ζυγὰ] ξύζυγὰ B, sed ξύ deletum. || 20. ὀρθοστάτου] ὀρτοστάτου B. || 23. τοῖς περὶ Διάδην καὶ Χαρίαν] cf. p. 238, l. 12 not.

σθαι, καὶ ἰσοτετράγωνα ἀνὰ δώδεκα δακτύλων τὰ σκέλη κάτωθεν ποιεῖν, ἄνωθεν δὲ ἐλάσσονα· ἐξαιρέτως δὲ τὰ παριστάμενα, καὶ μάλιστα πρὸς κατασκευὴν μεγέθους τοιούτου πύργου σύμμετρα τυγχάνοντα. Athen. Mechan. p. 12, l. 3.

Ioed. Πρὸς αὐτὰ δὲ πάλιν ἄνωθεν ὁ προρρηθεὶς Ἀπολλόδωρος ὁμοίως τοῖς κάτω ζυγὰ καὶ ἐπιζυγίδας ἐτίθει ἐλάσσονας τῷ μήκει ποδὸς ἄχρι, καὶ ἕως τῆς ἀνωτάτω στέγης πρός τε μῆκος καὶ πλάτος ἐκ τῶν τιθεμένων ἀνὰ πόδα ἀφῄρει, ἵνα συναγωγὴν ἄνωθεν ὁ πύργος λάβῃ, μήπως ἀκροβαρήσας περινεύσῃ, ἀλλ' ἀσφαλῆ τὴν στάσιν ἐκ τοῦ κάτωθεν πλάτους τῆς ἕδρας ἕξῃ. Τῶν δὲ στεγῶν αἱ μὲν περίπτεροι ἔστωσαν, αἱ δὲ περιδρόμους κύκλῳ ἔχουσαι πλάτους ὡσεὶ ποδῶν τριῶν· χρειώδεις γάρ εἰσιν εἰς τὴν τῶν ἐμπρησμῶν ἐκβοήθησιν. Καθ' ὃ δὲ διέστηκεν ἐπὶ τὰ πλάτη τὰ κάτω ζυγὰ τὰ τοὺς μεσοστάτας δεξάμενα ἐπὶ τὰ ῥηθέντα δωδεκαδάκτυλα ἢ καὶ μείζονα μεσόχωρα, τῷ τεχνίτῃ ἐμφαίνων ἐντέλλεται τροχοὺς ἐμβάλλειν τέσσαρας ἐξ εὐτόνων ἀξόνων συμπεπερονημένους καὶ σιδηροῖς πετάλλοις ψυχρηλάτοις συνδεδεμένους, τὴν διάμετρον ἔχοντας ἤτοι τὸ ὕψος ποδῶν ὡσεὶ τεσσάρων ἥμισυ· συμπερονᾶσθαι δὲ ὅτε τοὺς αὐτοὺς τροχοὺς καὶ διὰ σιδηρῶν βραχέων ἀξόνων, διά τε τὸ ἐπικείμενον βάρος καὶ τὸ ἔξογκον τοῦ μεγέθους· καὶ τοὺς μὲν δύο πρὸς ἕκαστα μόνα τὰ δύο ξύλα ἀσφαλίζεσθαι, τοὺς δὲ λοιποὺς δύο πρὸς τὰ ἐξ ἐναντίας ἀντικείμενα αἴροντας ἀπὸ τῆς γῆς καὶ

Apollodor. Poliorc. p. 165, l. 11 sqq.

Apollodor. Poliorc. p. 166, l. 2 sqq.

Cod. B. fol. 176 v°.

3. κατασκευὴν] κατὰ σκευὴν B. ‖ 4. τυγχάνοντα] τυγχάνονα B. ‖ 5. προρρηθεὶς] πορρηθεὶς B. ‖ 8. ἀφῄρει] ἀφήρει B. — Post ἄνωθεν scripsit οὐ librarius in codice B, sed idem expunxit. ‖ 14. δωδεκαδάκτυλα] δώδεκα δάκτυλα dividit B, sed uno verbo legendum. ‖ 16. εὐτόνων] scripsi ex conjectura. εὐτόνου B. ‖ 19. τροχοὺς] τρόχους B. ‖ 22. αἴροντας] αἴροντας cum spiritu aspero ponit B.

ἀνέχοντας τὰ διπλᾶ ξύλα, ἵνα εὐσρόφως οἱ τροχοὶ καὶ ἀπαρ- 1000
ἐμποδίσως κυλίωνται καὶ ὅλον συγκινῶσι τὸ τῦ πύργου σύμπτωμα.
Inscl. χισμα. Οὕτως ἂν οἱ ἐπὶ τῶν κλιμάκων ἑστῶτες εὐσθενθύμως Apollodor. Poliorc. ἀντιμαχήσονται, κατὰ πρόσωπον τῶν πολεμίων ὑψηλότεροι ὄντες, p. 190, l. 3 sqq πρόπυργια εἰς φυλακὴν ἑαυτῶν καὶ ἀσφάλειαν ἐκ τοῦ προτειχίσματος ἔχοντες. Μὴ ἐνούσθω δὲ ὅλον ἀνεστάμενον τὸ προτείχισμα, ἀλλὰ πρὸς μέρη τινὰ ἀσύνδετον ἔστω, ἵνα, ἐὰν ἀνάγκη κατὰ τὴν προσβολὴν γένηται, τὸ μὲν αὐτοῦ ἑστᾶται, τὸ δὲ καταπίπτῃ· εἰ δὲ χρεία γένηται καὶ ὅλον καταπεσεῖν, πάσας τὰς ὑπαντώσας κλίμακας καὶ ἀντεχούσας ἐπὶ τῷ προτειχίσματι λύσαντες ἐκ τῶν κάτωθεν μερῶν ὑποσύρομεν ἐπὶ τοῦ καταχώματος ἐπιδέντες.

Gal. B fol. 189 v°. Ταύτην δὲ τὴν τάφρον πασσάλοις τῇ γῇ ἐμπεπηγόσι μακρόθεν διὰ τοιχίων ἀποκρατοῦντες ἀσφαλισώμεθα· καὶ ἐκ τοῦ πρὸς ἡμᾶς χείλους τὸ ἐν αὐτῆς ἄκρον κατὰ μικρὸν ἐπιδιδόντες, ἀπελάσομεν ἄνωθεν, τοῦ ἀποκρατοῦντος αὐτὴν ἀπολυομένου σφηνός. Καὶ



Fig. CVII.

ὅπως κατὰ μικρὸν ἡ τάφρος παρέρχεται ὑπὸ τῆς τοῦ ὕδατος κατα-

1. ἑστῶτες] ἑστῶτες B. ‖ 2. πολεμίων] πολεμιῶν B. ‖ 3. προπύργια] προπύργιαι B. ‖ 4. ἐνούσθω] ἐνούσθω B. ‖ 10. πασσάλοις] πασάλοις B.

φορᾶς, καθάπερ θύρα διανοιγομένη, τοῦ στρατεύματος πλήρης ὖσα· καὶ μετέρχεται τὸ ἓν αὐτῆς ἄκρον ἐπὶ τὸ χεῖλος τοῦ ποταμοῦ τὸ πρὸς τοὺς πολεμίους. Καὶ ἐπεὶ μακροτέρα τοῦ ποταμίου πλάτους ὑπετέθη, οὐ δύναται ὑπὸ τοῦ ῥεύματος πρὸς κατάρρουν πάλιν ἀντιστρέφεσθαι. Τοῦ δὲ προτειχίσματος ἔνδοθεν ἐπὶ τῷ καταστρώματί εἰσιν ἀφεθέντα τρυπήματα πρὸς μέρη τινὰ καὶ μέχρι τῆς γῆς διερχόμενα· πρὸς ἃ πάσσαλοι ξύλινοι ἐπιμελῶς πήγνυνται, καὶ προσδέδεται κρυφίως ἡ σχεδία. Καὶ ἔστι τὸ σχῆμα τοιοῦτον.

Apollodor. Poliorc. p. 191, l. 1-5.

Cap. XXVII. De quibusdam superioris machinæ additamentis ejusque motu et usu

Ἐπελθόντος δὲ τοῦ ἑνὸς τῆς σχεδίας ἄκρου ἐπὶ τὸ ἐναντίον χεῖλος τοῦ ποταμοῦ καὶ πρὸς τῇ γῇ ἀσφαλισθέντος ἔνδον τοῦ προτειχίσματος, ὡς προείρηται, τότε ἀπολύεται ἐξ ἄκρου καὶ τὸ ἕτερον, καὶ πάλιν ἡ τοῦ ῥεύματος καταφορὰ πλαγίαν αὐτὴν ἐπιπέμπει καὶ παρατίθησι πρὸς τὸ ἕτερον χεῖλος τοῦ ποταμοῦ ὅλην κατὰ μῆκος ἐφαρμόζουσα, τοῦ πλήθους συνηγμένου καὶ ἑτοίμου ὄντος πρὸς τὴν τῆς μάχης ἀντιπαράταξιν. Οἱ δὲ ἐπὶ ταῖς κλίμαξιν ἀναβάντες ὡς ἐπὶ τείχους ἑστῶτες καὶ τεθαρρηκότες ἀντιμαχήσονται. Ὅταν δὲ ἀποστρέψῃ τοὺς πολεμίους ἡ ἀπὸ τοῦ προτειχίσματος καταπλήττουσα συμβολὴ, λύονται τὰ κάτωθεν τῶν κλιμάκων δέσμα, καὶ πλαγιάζει κατ' ὀλίγον ὅλος ὁ τοῖχος τοῦ προτειχίσματος, ὑποσυρομένων δηλονότι τῶν κλιμάκων καὶ ἐπιπιπτόντων τῷ κατα-

Apollodor. Poliorc. p. 191, l. 6 sqq.

15. πρὸς] πρὸ B. ‖ 17. ἑστῶτες] ἑστῶτες B. — ἀντιμαχήσονται] vocabulum in codice B prorsus corruptum. Emendavi ex Apollodori Poliorceticis (p. 192, l. 3 not. ed. nostræ) ubi codex M μαχήσονται ponit (μαχέσονται PVTh.). ‖ 18. ἀποστρέψῃ] ἀπστρέψῃ B. ‖ 20. τοῖχος] τεῖχος B. — προτειχίσματος] προτειχίσματας B.

σχώματα· καὶ γίνεται ὁδὸς ὅλον τὸ μεσόχωρον τῶ καταπίπτοντος προτειχίσματος· καὶ ὅπως διηνεκὴς ἡ διάβασις ἔσαι. Τρυπάσω δὲ κρυφίως ἢ κάτωθεν τὸ προτείχισμα ἐπὶ ταῖς κατὰ πρόσωπον προσπλωθείσαις πλαγίαις σανίσιν, ὥστε ἀκοντίζειν ἢ τοξεύειν ἐπὶ τοὺς πολεμίους καὶ ἐκ τῶ κάτωθεν μέρους, ἀφανῶν τῶν μαχομένων ὄντων, διπλῆ τε μάχεσθαι τάξει κατὰ πρόσωπον· πρὸς μόνον δὲ τὴν ἄνωθεν τοὺς πολεμίους ἀφορᾶν τε καὶ διαμάχεσθαι.

Apollodor. Poliorc. p. 193. l. 6–11

Ἐπεδήμην ἢ ὡς ὀρθογραφεῖται τὸ χῆμα, ἵνα φανερὰ καὶ



Fig. CVIII.

ἡ τῶν κλιμάκων γένηται θέσις ἢ ἡ τῶ προτειχίσματος· τὴν δὲ

2. προτειχίσματος] προσειχίσματος B. ‖ 4. προσπλωθείσαις] προσπλωθείσαι B. ‖ 5. ἀφανῶν] ἀφανῶ. δὲ ponit B, sed δὲ videtur delendum. ‖ 7. ἀφορᾶν] ἀφοραὶ B. ‖ 9. Ἐπεδήμην] ὑπεδήμην ponit codex M in Apollodori Poliorceticis. (Vid. p. 193.

Apollodor. Poliorc. p. 193, l. 1-5.

ϙεδίαν ἐκ τοῦ πρὸς ἡμᾶς χείλους ἀπολυομένην, καὶ ὥσπερ θύρας διανοιγομένης ἐπὶ τῇ καταφορᾷ τοῦ ποταμίου ῥεύματος, βοηθεῖν δεῖ, μήπως ἀθρόως ἐπιπολὺ τοῦ ποταμοῦ τὸ πρὸς τοὺς πολεμίους. . . . . ὅθεν χρὴ χαλινοῦν αὐτὴν καὶ ἀναχαιτίζειν ἀπὸ τοῦ πρὸς ἡμᾶς χείλους ἀποκρατοῦντας, τὴν δὲ τῶν ϙοινίων ἐπίδοσιν κατὰ μικρὸν ποιεῖσθαι, ὅπως πραέως καὶ κατ' ὀλίγον διερχομένη ἐπὶ τὸ ἕτερον τοῦ ποταμοῦ χεῖλος ἀκινδύνως ἐπιτεθήσεται. Καὶ τὸ ϙῆμα ὑπόκειται.

Ined. l. 1-8

Cod. B fol. 190 v°

Operis conclusio

Ταῦτα τοίνυν τὰ πρὸς ἀναγραφὴν καὶ ϙηματισμὸν κατ' ἐκλογὴν συνταχθέντα πολιορκητήρια μηχανήματα οἱ τῶν ϛρατευμάτων ἐξάρχοντες μετὰ λόγου καὶ συνεχοῦς μελέτης ἐπιμελῶς κατεργαζόμενοι, τὴν θείαν διὰ παντὸς ἐνοπτριζόμενοι δίκην, ἐπὶ δικαιοσύνῃ καὶ εὐσεβείᾳ κεκοσμημένοι, καὶ τῇ κραταιᾷ χειρὶ συνεργείᾳ τε καὶ συμμαχίᾳ τῶν θεοϛεπτῶν καὶ φιλοχριϛῶν ἀνάκτων Ῥώμης ἐνδυναμούμενοί τε καὶ φρουρούμενοι, εὐχερῶς τὰς τῆς Ἄγαρ μάλιϛα λήψονται πόλεις, αὐτοὶ μηθὲν ἀνήκεϛον ὑπὸ τῶν θεολέϛων ἐχθρῶν πάϙοντες.

Cod. B fol. 191 r°

l. 1 ed. nostræ.) ‖ 3-4. τὸ πρὸς τοὺς πολεμίους] videtur excidisse aliquid, unde lacunam notavi. Vertit Barocius *ne raptim ad reliquam fluminis ripam versus hostes existentem adveniat.* ‖ 9-10. κατ' ἐκλογὴν] κατεκλογὴν B. ‖ 11. συνεχοῦς] συνευχοῦς B. ‖ 12. ἐνοπτριζόμενοι] ἐνοπριζόμενοι B. ‖ 14. συνεργείᾳ] συνεργία B. — θεοϛεπτῶν] sic B. Vertit Barocius *Dei cultorum*, tanquam legendum foret θεοσέπτων vel θεοσεπτόρων, sed vertendum est *a Deo coronatorum.* (RR. θεός et ϛεπτός a ϛέφω). ‖ 15-17. Verba τὰς τῆς Ἄγαρ μάλιϛα λήψονται πόλεις αὐτοὶ μηθὲν ἀνήκεϛον ὑπὸ τῶν θεολέϛων (sic codex B qui primum θεολέπτων posuerat, θεολῃϛῶν conj. Martin) ἐχθρῶν πάϙοντες sunt clausula libelli. Transtulit auctor noster ad Saracenos (Ἀγαρηνοί) quæ Philo Byzantius generatim de hoste quovis dixerat. Etenim Philo (ed. Th. p. 104 fin.) ait: τοῦτον ἄν τις τὸν τρόπον πολιορκῶν τὰς πόλεις λαμβάνοι μάλιϛα οὐδὲν ἀνήκεϛον παθών.

[Περὶ ἐπιμονιδίου Φαρμάκου.]

Cod. B. fol. 193 r°. Συνίθεται δὲ τοῦτο τὸ ἐπιμονίδιον φάρμακον ἀφεψηθείσης σκίλλης ϗ πλυθείσης ὕδατι ϗ ξηρανθείσης κατακοπείσης τε εἰς λεπόταται, ϗ μετὰ ταῦτα παραμιχθέντος εἰς αὐτὴν σησάμου τοῦ Ε̄ μέρους, μήκωνος ὡς ΙΕ̄, ϗ πάντων τούτων λεανθέντων ἐν τῷ αὐτῷ ὡς βελτίστῳ μέλιτι φυράσαντι, διελεῖν ὅσον εἰς ἐλαίας

Philon. ed. Th. p. 88, l. 31 sqq.

Titulum Περὶ ἐπιμονιδίου φαρμάκου ipse posui. Nam scholion illud de medicamento quod dicitur ἐπιμονίδιον sine titulo litteris minutissimis iisque rubricatis exaratum est in margine codicis B (fol. 193 verso). Congruit vero cum iis quæ leguntur apud Philonem Byzantium (ed. Th. pag. 88, l. 31, ad pag. 89, l. 10), eo tamen pacto ut codex quo usus est auctor anonymus hujusce libelli aliquanto melior ac plenior fuisse videatur quam codices illi quibus Philonis textus ad nos traditus pervenit. Itaque varietatem lectionis codicis B cum codice Vaticano, qui præcipuus est codicum hodie ad Philonem pertinentium, ubique conferendam esse existimavi.

1. τοῦτο τ'] τοῦτο τι B. — ἐπιμονίδιον] sic codex B. τὸ ἐπιμεδίῳ φαρμάκῳ habet Philo Byzantius (ed. Th. p. 88, l. 29) dum codex Vaticanus ponit ἐπιμο ·/. δίν cum signo corruptæ lectionis V· in margine, quia duo litteræ exciderunt. Sed adjectivum ἐπιμονίδιον alii volunt Ἐπιμενίδειον esse quasi dictum a philosopho Epimenide, et vertit Barocius: *Epimenideum est quoddam medicamentum.* Quæ versio nititur auctoritate Theophrasti (*Hist. Plant.* VII, XII, 1): σκίλλης τῆς Ἐπιμενιδείου καλουμένης. Attamen videtur hæc lectio falsa esse, quum addat ipse Theophrastus hanc herbam sic ab usu denominatam fuisse: ἡ ἀπὸ τῆς χρήσεως ἔχει τὴν ὠφελησιν. Unde ego omnibus in locis quos laudat *Thesaurus linguæ græcæ* (ed. Hase, vol. III. p. 1695, s. v. Ἐπιμενίδης) adjectivum ἐπιμονίδιος, quod fluxit a verbo ἐπιμένω, non autem Ἐπιμενίδειος a nomine philosophi Epimenidis, reponendum esse censeo. — Post φάρμακον addit Philo Byzantius κατὰ πίνδι τὸν τρόπον (deest πίνδι τὸν in codice Vaticano). — ἀφεψηθείσης] ἀφεψηθείς σης B. ἀφεψηθείσης ponit codex V in Philone Byzantio. ‖ 2. σκίλλης] σκήλλης B. — Verba σκίλλης ϗ πλυθείσης ὕδατι ϗ ξηρανθείσης desunt in Philone Byzantio. Etenim omnes codices quibus hic auctor continetur ex uno fonte profluxerunt, easdemque lacunas præbent. Itaque vehementer dolendum est quod opera Philonis in codice M non contineantur, quo lacunæ sive textus sive figurarum hodie expleri possint. ‖ 3. σησάμου] σισάμου B. σησάλλου ponit codex V in Philone Byzantio ex scriptura ΛΛ = M. ‖ 4. τοῦ Ε̄ μέρους] sic B. τῶ πέμπτῳ μέρους codex V. — ὡς ΙΕ̄] sic B. ὡς πενταεδεκάτου Philo. — λεανθέντων] emendavi ex Philone. λεανθέων B.

Philon. ed. Th. p. 88, l. 38 sqq.

τὰς μεγίστας γινομένας. Καὶ τούτων ἓν μὲν περὶ $\overline{\text{B}}$ ὥραν, ἓν δὲ περὶ $\overline{\text{I}}$ ἀναλίσκοντες, οὐθὲν ὑπὸ λιμοῦ πάθοιεν δεινόν.

Ἄλλη σύνθεσις φαρμάκου συντιθεμένη τοῦτον τὸν τρόπον. Λαβὼν σήσαμον Ἄττικον ἡμίεκτον καὶ μέλιτος ἡμίχουν καὶ [ἐλαίου] κοτύλην καὶ χοίνικα ἀμυγδάλων γλυκέων λελεπισμένων, φρύξαντες τὸν σήσαμον καὶ τὰ ἀμύγδαλα, καταλέσαι καὶ σεῖσαι· εἶτα τὰς σκίλλας περιλεπίσαντα καὶ τὰς ῥίζας καὶ πέταλα ἀποτεμόντα καὶ διελόντα μικρὰ, εἰς θυΐαν ἀνεμβαλόντα, τρίψαι ὡς λειότατα. Μετὰ δὲ ταῦτα τῶν τετριμμένων σκιλλῶν ἴσον τῷ μέλιτι τρίψαι ὁμαλῶς ἅμα τῷ ἐλαίῳ, καὶ ἐσχέοντας εἰς χύτραν ἑψεῖν ἐπιθέντας ἐπ' ἀνθρακιᾶς.

Philon. ed. Th. p. 89, l. 1-10.

Ὅταν δὲ ἄρξηται ζεῖν, παρεμβαλόντα τοῦ σησάμου καὶ τῶν ἀμυγδάλων ἅμα ξύλῳ διακινεῖν, μέχρις ἂν ἅπαντα ἐνωθῇ. Ὅταν δὲ γένηται στερεὸν ἰσχυρῶς, ἀφελόντα διελεῖν εἰς ψωμοὺς

1. γινομένας] sic B. Sic et Philo in codice V. γιγνομένας Th. — περὶ $\overline{\text{B}}$ ὥραν] sic B. περὶ δευτέραν ὥραν Philo. ‖ 2. περὶ $\overline{\text{I}}$] sic B. περὶ δεκάτην Philo. — ὑπὸ] sic B. ἀπὸ Philo. — πάθοιεν] conjeci. πάθειεν ponit B. πάθοι ἂν Philo. ‖ 3. φαρμάκου] φάρμαξ B. Habet Philo: Ἔστι δὲ καὶ ἄλλο παραπλήσιόν τι τούτῳ φάρμακον ὃ δεῖ συντιθέναι τοῦτον τὸν τρόπον. ‖ 4. σήσαμον] σίσαμον B. — ἐλαίου] sic ex Philone L⁶ marg. Locus corruptus in B, qui εκαιευ habet. ‖ 5. λελεπισμένων] sic Philo. λελεπιμένων B. ‖ 5-6. φρύξαντες] sic Philo. φράξαντες B. Est ἀνακολοῦθον, quippe quum orationis structura non φρύξαντες, sed φρύξαντα vel φρύξαντας requirat. ‖ 6. καταλέσαι καὶ σεῖσαι] spatium vacuum in B. Dedi ex Philone. ‖ 7. εἶτα τὰς σκίλλας] sic B. εἶτα τάσκέλλας Philo in codice V. ‖ 8. θυΐαν] sic B. θύιαν Philo apud Th. — ἀνεμβαλόντα] sic B. ἐμβαλόντα Philo. ‖ 9. ἴσον] sic B. Omittit Philo. ‖ 10. ἐσχέοντας] sic B. ἐγχέαντας Philo. ‖ 11. ἑψεῖν] sic B, qui consentit cum codice V ubi ἑψεῖν habet Philo, dum ἑψᾶν ponit Th. — ἀνθρακιᾶς] sic B, recte quidem ut mihi videtur. ἀνθρακίας Philo in codice V. ‖ 12. Ὅταν] ὅτ' ἂν BV. — σησάμου] σισάμου B. ‖ 13. διακινεῖν] sic Philo. διακονεῖν B. — ἐνωθῇ] sic B, unde corrigendus textus Philonis qui habet ἐμβληθῇ. ‖ 14. ὅταν] ὅτ' ἂν BV. — διελεῖν] sic B, quocum consentit Philo in codice V. διαιρεῖν Th.

μικρούς· καὶ ἕνα προῖ, ἕνα δείλης, ἀναλίσκων τις ἱκανὴν ἔχει τροφήν. Τυγχάνει δὲ καὶ πρὸς τὰς στρατιὰς τοῦτο τὸ φάρμακον ἀγαθόν· ἡδὺ γάρ ἐστι καὶ πλήσμιον, καὶ δίψαν οὐκ ἐμποιεῖ.

1. ἀναλίσκων τις ἱκανὴν ἔχει] sic B. ἀναλίσκων ἄν τις ἱκανὴν ἔχοι Philo. ‖ 2-3. τοῦτο τὸ φάρμακον ἀγαθὸν] sic B. ἱκανὸν τοῦτο φάρμακον Philo. ‖ 3. πλήσμιον] sic B. πλίσμιον ponit ex iotacismo Philo in editis. Quod minime mirum, nam I = H in pronuntiandi ratione quæ etiamnum apud Græcos usurpatur.

ΣΤΡΑΤΗΓΙΑΙ ΚΑΙ ΠΟΛΙΟΡΚΙΑΙ

ΔΙΑΦΟΡΩΝ ΠΟΛΕΩΝ

ΕΚ ΤΩΝ ΔΙΟΝΥΣΙΟΥ, ΠΟΛΥΑΙΝΟΥ, ΔΕΞΙΠΠΟΥ,

ΠΡΙΣΚΟΥ, ΑΡΙΑΝΟΥ, ΠΟΛΥΒΙΟΥ, ΘΩΚΥΔΙΔΟΥ, ΙΩΣΗΠΟΥ,

ΕΥΣΕΒΙΟΥ ΚΑΙ ΑΝΩΝΥΜΟΥ.

ΣΤΡΑΤΗΓΙΑΙ ΚΑΙ ΠΟΛΙΟΡΚΙΑΙ

ΔΙΑΦΟΡΩΝ ΠΟΛΕΩΝ

ΕΚ ΤΩΝ ΔΙΟΝΥΣΙΟΥ, ΠΟΛΥΑΙΝΟΥ, ΔΕΞΙΠΠΟΥ,
ΠΡΙΣΚΟΥ, ΑΡΙΑΝΟΥ, ΠΟΛΥΒΙΟΥ, ΘΩΚΥΔΙΔΟΥ, ΙΩΣΗΠΟΥ,
ΕΥΣΕΒΙΟΥ ΚΑΙ ΑΝΩΝΥΜΟΥ.

M.
fol. 88 r°

ΕΚ ΤΗΣ ΔΙΟΝΥΣΙΟΥ ΙΣΤΟΡΙΑΣ Β[1]. Κ.

Πύρρου καὶ Ῥωμαίων ὑπάτων Ποπλίου Δεκίου καὶ Ποπλίου Σουλπικίου.

Συνθέμενοι δὲ διὰ κηρύκων τὸν χρόνον ἐν ᾧ διαγωνιοῦνται, καταβαίνουσιν ἐκ τῶν στρατοπέδων, καὶ εἰς τάξιν καθίστανται τοιάνδε.

[1] Codex M (fol. 88 recto ad fol. 103 versum, quibus addenda sunt præterea folia 16 et 17 recta et versa, errore ejus qui sæculo XVI^mo^ compegit librum loco suo mota) suppeditavit hanc seriem fragmentorum historicorum quibus inscriptio olim erat supra scripta, ex qua nunc tantum duo hæc verba supersunt, litteris uncialibus exarata : διαφόρων πόλεων. Vox vero πολιορκίαι est restitutio a Minoide Mina proposita atque in apographum suum illata. (Cod. Par. Suppl. Gr. n° 485.) In ipso autem codice M videtur titulus longior fuisse et pluribus constitisse verbis, sed pleraque culpa compactoris libri recisa sunt. Conjici potest vocabulum στρατηγίαι vel παρατάξεις vel aliud simile titulo olim insertum fuisse, quippe quum Dionysii Halicarnassensis descriptio pugnæ quam ad Asculum Pyrrhus cum Romanis commisit, et fragmenta duo de Alexandro et de Antigono e Polyæni strategematis excerpta, ad στρατηγίας potius quam ad πολιορκίας pertineant. Incipiunt enim πολιορκίαι folio 91 recto, ubi auctor ipse Excerptorum ait se transire nunc ad obsidiones : Ἐντεῦθεν ὅπῃ τὰς πολιορκίας καὶ τὰς ἐκ τῶν ἔνδον παρασκευὰς..... ὁ λόγος ἔρχεται κ. τ. λ. (vid. pag. 295, l. 4 sqq. ed. nostræ). Itaque titulus sic fere restitui potest : [Στρατηγίαι καὶ πολιορκίαι] διαφόρων πόλεων.

Titulus Ἐκ τῆς Διονυσίου ἱστορίας βι. Κ. Πύρρου καὶ Ῥωμαίων ὑπάτων Ποπλίου Δεκίου καὶ Ποπλίου Σουλπικίου litteris uncialibus in codice exaratus est. Notandæ sunt ab-

Βασιλεὺς μὲν Πύρρος τὴν Μακεδονικὴν φάλαγγα τοῦτον ἔταξεν ἐπὶ τῷ δεξιῷ κέρατος, καὶ μετ' αὐτὴν τοὺς ἐκ τῶν Τάραντος μισθοφόρους Ἰταλιώτας· ἔπειτα τοὺς ἐξ Ἀμπρακίας καὶ μετ' αὐτοὺς τὴν Ταραντίνων λευκασπίν φάλαγγα· ἐξῆς δὲ τὸ Βρεττίων καὶ Λευκανῶν συμμαχικόν· ἐπὶ μέσης δὲ τῆς φάλαγγος Θεσπρωτούς τε καὶ Χάονας· τούτοις δὲ συνεχεῖς τοὺς Αἰτωλῶν καὶ Ἀκαρνάνων καὶ Ἀθαμάνων μισθοφόρους· τελευταίους δὲ Σαυνίτας τὸ λαιὸν ἐκπληροῦντας κέρας· τῆς δὲ ἵππου τὴν μὲν Σαυνῖτιν καὶ Θετταλικὴν καὶ Βρεττίαν καὶ τὴν ἐκ τῶν Τάραντος μισθοφόρων ἐπὶ τῷ δεξιῷ κέρατος ἔστησεν· τὴν δὲ Ἀμπρακιῶτιν καὶ Λευκανὴν καὶ Ταραντίνην καὶ τὴν Ἑλληνικὴν μισθοφόρων ἣν ἐξεπλήρουν Ἀκαρνᾶνες τε καὶ Αἰτωλοὶ καὶ Μακεδόνες καὶ Ἀθαμᾶνες ἐπὶ τῷ λαιῷ· τοὺς δὲ ψιλοὺς καὶ τοὺς ἐλέφαντας διχῇ νείμας, ἀμφοτέρων κατόπιν ἔστησε τῶν κεράτων, σύμμετρόν τι χωρίον ἀφεστῶτας ὀλίγον ἐπανεσηκὸς τοῦ πεδίου· αὐτὸς δὲ τὸ καλούμενον Βασιλικὸν ἄγημα τῶν ἐπιλέκτων ἱππέων ὁμοῦ τε διχιλίων περὶ

breviationes β pro βιβλία, et $\overset{\pi}{\gamma}\overset{\pi}{\gamma}$ pro ἱππέων. Est fragmentum e Dionysii Halicarnassensis libro vicesimo, quo continetur descriptio pugnæ quam ad Asculum Pyrrhus cum Romanis commisit. Apographum hujus fragmenti, a Mina ipso descriptum, reperitur in n° 485 Suppl. Gr. Bibliothecæ mss. Parisiensis, cui titulus : *Excerpta historica*. Ex illo apographo edidit Carolus Müllerus apud fratres Didot, Parisiis, 1847, ad calcem alterius voluminis Flavii Josephi operum. Nos ex prototypo codice nunc primum damus, ea lege ut omnia, quam maxime fieri potuit, ad fidem diplomaticam exprimenda censuerimus, quippe quum hoc fragmentum vetustissimis quæ ad nos pervenerunt Dionysii Halicarnassensis exemplaribus sit annumerandus. ‖ 1. Post Μακεδονικὴν inserit μὲν Minas, sed non habet codex. ‖ 3. Ἀμπρακίας] sic codex. Confer Ἀμπρακιῶτιν (l. 10). Vocabulum more epigraphico scriptum est. Male igitur Ἀμβρακίας et Ἀμβρακιῶτιν correxit Minas. ‖ 4. λεύκασπιν] λευκάσπιν codex. — ἐξῆς] ἐξῆς codex. ‖ 6. Θεσπρωτούς] δὲς πρώτους dividit codex. ‖ 13. διχῇ] διχὴ codex. ‖ 16. ὁμοῦ π] sic codex. ὁμοῦ π conj. Müllerus.

αὐτὸν ἔχων, ἐκτὸς ἦν τάξεως, εἶναι τοῖς κάμνουσιν αἰεὶ τῶν σφετέρων ἐξ ἑτοίμου ἐπάρκεσιν.

Οἱ δὲ ἵππαται κατὰ μὲν τὸ λαιὸν κέρας ἔσησαν τάγμα τὸ καλούμενον σφῶν ἐναντίον τῇ Μακεδονικῇ καὶ Ἀμπρακιωτικῇ φάλαγγι καὶ τοῖς μισθοφόροις τῶν Ταραντίνων· ἑπόμενον δὲ τῷ σφῶν τάγματι τὸ τέλος, καθ' ὃ μέρος ἡ λεύκασπις ἦν τῶν Ταραντίνων φάλαγξ καὶ τὸ Βρεττίων καὶ τὸ Λευκανῶν συμμαχικόν· συναφὲς δὲ τῷ τέλει τὸ τέταρτον ἔσησαν κατὰ Μολοσσούς τε καὶ Χάονας καὶ Θεσπρωτούς· τὸ δὲ δεύτερον ἐπὶ τῷ δεξιοῦ κέρατος ἐναντίον τοῖς μισθοφόροις τοῖς ἀπὸ τῆς Ἑλλάδος Αἰτωλοῖς καὶ Ἀκαρνᾶσι καὶ Ἀθαμᾶσι καὶ τῇ Σαυνιτῶν θυρεαφόρῳ φάλαγγι· Λατίνους δὲ καὶ Καμπανοὺς καὶ Σαβίνους καὶ Ὀμβρίκους καὶ Οὐολέσκους καὶ Μαρρυγκίνους καὶ Πελίγνους καὶ Φερεντανοὺς καὶ τοὺς ἄλλους ἰππικούς, εἰς τέτταρα διελόντες μέρη, τοῖς Ῥωμαϊκοῖς παρενέβαλον τάγμασιν, ἵνα μηδὲν αὐτοῖς ἀσθενὲς εἴη μέρος. Τὴν δὲ ἵππον τὴν οἰκείαν καὶ τὴν συμμαχικὴν διελόντες ἐπ' ἀμφοτέρων ἔταξαν τῶν κεράτων· ἐκτὸς δὲ τάξεως τοὺς τε ψιλοὺς

Ms. fol. 88 v°.

2. ἐπάρκεσιν] conj. Dübnerus. Codex ponit παρεισιν. Certe locus corruptus. Restituit Minas: εἶναι τοῖς κάμνουσιν αἰεὶ [βοηθὸς εἴ τινες] τῶν σφετέρων ἐξ ἑτοίμου πάρεισι, quod explicat ὥστε εἶναι τοῖς κάμνουσι τῶν σφετέρων αἰεὶ βοηθὸς ἐξ ἑτοίμου, εἴ τινες πάρεισι. Proponit Müllerus: εἰς τὸ τοῖς κάμνουσιν... παρεῖναι. ‖ 4. Ἀμπρακιωτικῇ] scripsi ex præcedentibus. αμπλακιωτικη codex. ‖ 8. κατὰ Μολοσσούς] κατωμολοσσους codex. κατὰ τὸ Μολοσσούς Minas. κατὰ τοὺς Μολοσσούς Müllerus. ‖ 9. Θεσπρωτούς] θεσ codex. ‖ 9-10. κέρατος] correxit Müllerus. κέρας ponit codex. ‖ 11. Ἀθαμᾶσι] ἀθάμασι codex. — θυρεαφόρῳ] θυρεασαφόρω ponit codex, sine dubio pro θυρεαιφόρω, quum sonus Ε idem sit atque ΑΙ apud Græcos. θυρεοφόρῳ scripsit Müllerus. Nam θυρεαφόρος (Polyb. V, LIII, 8) idem est atque θυρεοφόρος (Plut. *Crass.* 25). ‖ 12-13. Οὐολέσκους] ουολεσκουο codex. Confusæ sunt litteræ C = O in textu unciali. ‖ 15-16. τὴν δὲ ἵππον] sic codex. τὴν δ' ἵππον Minas unde Müllerus.

κατέστησαν καὶ τὰς ἁμάξας, τριακοσίας τὸν ἀριθμὸν, ἃς παρεσκευάσαντο πρὸς τὴν τῶν ἐλεφάντων μάχην. Αὗται κεραίας εἶχον ἐπιβεβηκυίας στόμιξιν ὀρθοῖς πλαγίας, εὐτρόχους, ὅπη βουληθείη τις ἅμα νοήματι περιάγεσθαι δυναμένας· ἐπ' ἄκρων δὲ τῶν κεραιῶν ἢ τριόδοντες ἦσαν, ἢ κέστροι μαχαιροειδεῖς, ἢ δρέπανα ὁλοσίδηρα· ἢ καταράκτας τινὰς ἐπιρριπτοῦντας ἄνωθεν βαρεῖς κόρακας· πολλαῖς δὲ αὐτῶν χεῖρες προσήρτηντο πυρφόροι, συππία πολλῇ πίττῃ λελιπασμένα περὶ αὐτὰς ἔχουσαι, προεκκείμεναι τῶν ἁμαξῶν, ἃς ἔμελλον ἑστηκότες ἐπ' αὐτῶν τινες, ὅτε πλησίον γένοιντο τῶν θηρίων, πλήσαντες πυρὸς ἐπὶ τὰς προβοσκίδας αὐτῶν καὶ τὰ πρόσωπα τὰς πληγὰς φέρειν. Ἐφεστήκεσαν δὲ ταῖς ἁμάξαις τετρακύκλοις ὑπαρχούσαις καὶ τῶν ψιλῶν συχνοὶ τοξόται καὶ χερμάται καὶ τριβόλων σιδηρῶν σφενδονῆται καὶ παρ' αὐτὰς κάτωθεν ἔτι πλείους ἕτεροι.

Τάξις μὲν αὕτη τῶν στρατευσάντων ἦν ἀμφοτέρων· ἀριθμὸς δὲ τοῦ βασιλικοῦ μυριάδες ἑπτὰ πεζῶν, ἐν οἷς Ἕλληνες οἱ τὸν ἴδιον κόλπον διαπεράσαντες ἐπὶ μυρίοις ἦσαν ἑξακισχίλιοι· τοῦ δὲ ῥωμαϊκοῦ πλείους τῶν ἑπτὰ μυριάδων· ἐξ αὐτῆς μέντοι τῆς

Me fol. 89 r°

1. ἁμάξας] ἁμάξας codex. ‖ 3. στόμιξιν] sic codex, forte pro στομίσιν. Conjecit στάλιξιν Müllerus. Proposuit στόρθυγξιν ὀρθαῖς Dübnerus. ‖ 4. ἐπ' ἄκρων] ἀπάκρων codex, unde ἀπάκρων Minas. ‖ 5. μαχαιροειδεῖς] μαχεροειδεῖς codex. ‖ 6. ὁλοσίδηρα] ὁλοσίδηρα codex. — καταράκτας] sic codex. καταρράκτας Müllerus. Locus videtur lacunosus. Itaque Müllerus proponit: τινὲς δὲ εἶχον καταρράκτας κ. τ. λ. Forte legendum ἢ καταράκται τινὲς ἐπιρριπτοῦντες κ. τ. λ. — ἐπιρριπτοῦντας] ἐπιριπτουντας codex. ‖ 8. συππία] sic codex. συπία ex apographo Minæ Müllerus. ‖ 9. ἃς] sic codex. αἷς Müllerus. ‖ 12. ἁμάξαις] ἁμάξαις codex. ‖ 13. χερμάται] sic codex. χερμάδων conj. Müllerus. Certe vocabulum χερμάτης novum est. — σφενδονῆται] σφενδονιται codex. ‖ 15. Τάξις] τάξεις codex. ‖ 17. ἴδιον] sic codex. Ἰόνιον conjecit Müllerus. — ἑξακισχίλιοι] ἑξακισχίλιοι codex.

Ῥώμης ὁμοῦ δισμύριοι. Ἱππεῖς δὲ παρεγένοντο, Ῥωμαίοις μὲν ἀμφὶ τοὺς ὀκτακισχιλίους, Πύρρῳ δὲ μικρῷ πλείους ἢ τριακόσιοι ἑνὸς δέοντα εἴκοσι.

Ἐπεὶ δὲ τὰ σημεῖα τῆς μάχης ἀνεδείχθη, παιανίσαντες οἱ στρατῶται καὶ τὸ σύνολον ἀλαλάξαντες ἐχώρουν ὁμόσε, καὶ συμπεσόντες ἐμάχοντο πᾶσαν ἀποδεικνύμενοι τὴν ἐνόπλιον ἐπιστήμην. Οἱ μὲν ἱππεῖς οἱ παρὰ ἀμφότερα τεταγμένοι τὰ κέρατα, προειδότες ἐν οἷς ἐπλεονέκτουν αὐτοὶ τῶν πολεμίων, εἰς ταῦτα κατέφευγον· Ῥωμαῖοι μὲν, εἰς τὴν ἐκ χειρὸς καὶ σαδιαίαν μάχην· τὸ δὲ τῶν Ἑλλήνων ἱππικὸν, εἰς τὰς περιελάσεις καὶ τοὺς ἐξελιγμούς· καὶ οἱ μέν, ὁπότε διώκοιντο ὑπὸ τῶν Ἑλλήνων, ἐπιστρέφαντες τοὺς ἵππους καὶ τοὺς χαλινοὺς καταχόντες ἐπεξεμάχουν· οἱ δὲ, ὁπότε τοὺς Ῥωμαίους μάθοιεν εἰς ἀντίπαλα καθισταμένους, ἐπὶ δόρυ κλίναντες καὶ δι' ἀλλήλων ἐξελίξαντες περιεδίνουν τοὺς ἵππους αὖθις ἐπὶ τὸ μέτωπον καὶ τὰ κέντρα προβαλόντες ἐχώρουν ὁμόσε.

Ἡ μὲν οὖν δὴ τῶν ἵππων μάχη τοιαύτη τις ἦν· [ἡ] δὲ τῶν πεζῶν τῇ μὲν ἐμφερὴς ἐκείνῃ, τῇ δὲ διάφορος· ἐμφερὴς μὲν

1. ὁμοῦ] ὁμοῦ π conj. Müllerus. In codice est prope ὁμοῦ signum √· prima manu exaratum. — Ῥωμαίοις μὲν] sic codex. μὲν om. Müllerus. ‖ 4. παιανίσαντες] π V· αισαντες codex. ‖ 5. ἀλαλάξαντες] αλαξαντες codex. ἀλαλαξαντες Minas. Error natus ex confusione litterarum Λ et Δ in scriptura unciali. — ὁμόσε] ομοσαι codex. ‖ 8-9. κατέφευγον] καταφυγον primum scripserat librarius, sed ipse sua manu addidit ε supra lineam. Inde καταφυγον transcripsit Minas, unde habuit Müllerus. Cum imperfecto κατέφευγον confer ἐμάχοντο (l. 6), ἐπεξεμάχουν (l. 12), περιεδίνουν (l. 14), ἐχώρουν (l. 15). ‖ 12. χαλινοὺς] χαληνοὺς codex. ‖ 14. περιεδίνουν] sic codex pro vulgato περιεδίνουν. ‖ 16. ὁμόσε] ομοσαι codex. ‖ 17. ἡ δὲ] ἡ omissum in codice supplevit Minas, recte quidem, ut ex orationis tenore apparet.

κατὰ τὸ σύμπαν, διάφορος δὲ κατὰ τὰ μέρη. Τὸ μὲν γὰρ δεξιὸν κέρας ἐπρρεπέστερον ὑπῆρχεν ἑκατέροις· τὸ δὲ ἀριστερὸν ὑποδεέστερον. Οὐ μέντοι σὺν τῷ ἀχήμονι τὰ νῶτα τοῖς πολεμίοις ἐνέκλιναν οὐδέτεροι, ἀλλὰ σὺν κόσμῳ καὶ παρὰ ταῖς σημείαις μένοντες ἑκάτεροι καὶ τὴν τροβολὴν φυλάττοντες, κατὰ μικρὸν ὑπεχώρουν ὀπίσω. Οἱ δὲ ἀριστεύσαντες ἦσαν ἐκ μὲν τῆς βασιλικῆς στρατείας Μακεδόνες· οὗτοι γὰρ ἀνέστειλαν τὸ τροῦτον τῶν Ῥωμαίων στρατόπεδον καὶ τοὺς σὺν αὐτοῖς ταχθέντας Λατίνους· ἐκ δὲ τῆς Ῥωμαϊκῆς οἱ συνελθόντες εἰς τὸ δεύτερον τάγμα, Μολοττοῖς καὶ Θεσπρωτοῖς καὶ Χάοσιν ἐναντίοι. Κελεύσαντος δὲ τοῦ βασιλέως τοὺς ἐλέφαντας ἐπὶ τὸ κέντρον τῆς στρατείας ἄγειν, μαθόντες τὴν ἔφοδον τῶν θηρίων οἱ ταῖς περισφόροις ἐπιβεβηκότες ἀμάξαις ἤλαυνον ὁμόσε. Οὗτοι τὸ μὲν τροῦτον ἐπέσχον τῆς ὁρμῆς τὰ θηρία, παίοντες ταῖς μηχαναῖς καὶ τοὺς πυρφόρους χεῖρας εἰς τοὺς ὄψεις αὐτῶν ἐντρέποντες. Ἔπειτα οὐκέτι τροσαγόντων τὰ θηρία τῶν ἐφεστηκότων τοῖς πύργοις, ἀλλὰ ταῖς λόγχαις βαλλόντων ἄνωθεν, καὶ τῶν φιλῶν διακοπτόντων τὰ περικείμενα μέρεα ταῖς ἀμάξαις καὶ νευροτομούντων τοὺς βόας, καὶ καταπηδώντες ἀπὸ τῶν ὀχημάτων οἱ τροὸς ταῖς μηχαναῖς κατέφευγον εἰς τοὺς ἑστῶτας πεζούς, καὶ πολλὴν παρεῖχον αὐτοῖς ταραχήν. Οἱ δὲ

7. στρατιας] sic codex. στρατᾶς conj. Müllerus. — ἀνέστιλαν] ἀνέπιλαν codex. ἀνέστειλαν Minas. ‖ 8. Λατίνους] λατιναις codex. ‖ 10. Θεσπρωτοῖς] θης τροῖς codex. ‖ 11. στρατιας] sic codex. στρατᾶς Müllerus. ‖ 12. περισφόροις] sic codex. περισσοφόροις conj. Dübnerus. ‖ 13. ἀμάξαις] ἀμάξαις codex. — ὁμοσε] ομοσαι codex. ‖ 15. ἐς] sic codex. εἰς Minas, unde Müllerus. ‖ 15-16. προσαγόντων] sic codex. προσαγόντων proponit Müllerus. ‖ 18. νευροτομούντων] νευρατμουντων codex. — καὶ ante καταπηδῶντες deleudum censuit Müllerus.

ἐν μέσῃ τῇ βασιλικῇ φάλαγγι ταχθέντες Λευκανοὶ καὶ Βρέττιοι, χρόνον οὐ πολὺν ἀγωνισάμενοι, τρέπονται πρὸς φυγὴν ὑπὸ τὸ τέταρτον Ῥωμαϊκοῦ τάγματος ἀναταλέντες. Ὡς δὲ ἅπαξ ἐνέκλιναν οὗτοι, καὶ διερράγη τὸ κατ' αὐτοὺς μέρος τῆς φάλαγγος, οὐδὲ οἱ τὴν πλησίον αὐτῶν λαβόντες σάσιν Ταραντῖνοι παρέμενον, ἀλλὰ ἐντρέψαντες κἀκεῖνοι τὰ νῶτα τοῖς πολεμίοις ἔφευγον.

Βασιλεὺς δὲ Πύρρος ὡς ἔμαθεν ὅτι Λευκανοὶ καὶ Βρέττιοι καὶ Ταραντῖνοι φεύγουσι πρηστροπάδην καὶ λελώβηται τὸ κατ' ἐκείνους μέρος ἡ φάλαγξ, ἐκ τῆς καθ' ἑαυτὸν εἴλης μέρος τι παραδοὺς ἑτέροις ἡγεμόσι, καὶ ἀπὸ τοῦ δεξιοῦ κέρατος ἑτέρους ἱππεῖς ὅσους ὑπέλαβεν ἀρκεῖν ἀποστέλλει βοηθοὺς τοῖς ὑπὸ τῶν Ῥωμαίων διωκομένοις. Ἐν οἷς δὲ ταῦτα ἐγίνετο χρόνοις, παρὰ τοῦ δαιμονίου βοήθεια τοῖς Ῥωμαίοις ἔκδηλος γίνεται. Δαυνίων γάρ τινες ἐκ πόλεως Ἀργυρίππων, ἣν νῦν Ἄρπους καλοῦσι, πεζοὶ μὲν τετρακισχίλιοι, ἱππεῖς δὲ ἀμφὶ τοὺς τετρακοσίους, ἐπίκουροι τοῖς ὑπάτοις ἀποσταλέντες, ὡς ἐγένοντο πλησίον τοῦ βασιλικοῦ στρατοπέδου, τὴν κατὰ νώτου τῶν πολεμίων ἄγουσαν ὁδὸν ἀπὸ ταὐτομάτου πορευόμενοι, καὶ τὸ πεδίον εἶδον μεστὸν ἀνθρώπων, ὀλίγον ἐπισχόντες αὐτόθι χρόνον καὶ λογισμοὺς παντοδαπὸὺς λαβόντες, καταβαίνειν μὲν ἀπὸ τῶν μετεώρων καὶ συλλαμβάνειν τῆς μάχης ἀπέγνωσαν, οὐδὲ ὅπη τὸ φίλιόν ἐστιν εἰδότες, οὔτε ὅπη πολέμιον,

5. λαβόντες] sic codex. λαχόντες proponit Müllerus. ‖ 6. ἀλλ' ἐντρέψαντες Müllerus. ‖ 9. καθ' ἑαυτὸν] conj. Minas. καθ' ἑαυτῶν codex. — εἴλης] sic codex pro ἴλης. ‖ 11. ὑπέλαβεν] conj. Minas. ὑπολαβεῖν codex. ‖ 12. ἐγίνετο] ἐγίνετο codex. ‖ 15. τετρακοσίους] sic codex, ex correctione primæ manus. Scriptum fuerat τετρακισχιλίους. ‖ 19. ὀπισχόντες] ὀπιχωντες codex. — παντοδαπὸὺς] παντοδαποῦς codex.

οὐτ' ἐν ᾧ χωρίῳ στάντες ὠφέλειάν τινα παρέξουσι τοῖς σφετέροις M. fol. 90 r.
δυνάμενοι συλλαβεῖν, κράτιστον δὲ ὑπόλαβον εἶναι πεισάντες τὸ στρατόπεδον τῶν πολεμίων ἐξελεῖν, ὡς αὐτοί τε πολλὰς καὶ καλὰς ἔξοντες ὠφελείας εἰ κρατήσειαν τῶν ὑποσκευῶν, καὶ μεγάλην παρέξοντες τοῖς πολεμίοις ταραχὴν εἰ θάσσοντο καιόμενον ἄφνω τὸν χάρακα· ἀπεῖχε δὲ τὸ χωρίον τῆς μάχης ὡς πλέον εἴκοσι σταδίων. Ταῦτά τε δὴ βουλευσάμενοι, καὶ παρὰ αἰχμαλώτων τινῶν ἀκούσαντες, οὓς ἐπὶ ξυλισμὸν ἐλθόντας εἰλήφασιν, ὅτι κομιδῇ τινες ὀλίγοι φυλάττουσι τὸν χάρακα, ὡρμήθησαν αὐτοῖς παντάχοθεν· ὑπὲρ ὧν ἐπιγνοὺς ὁ Πύρρος ἱππέως τινὸς ἀπαγγείλαντος ὡς ἁρξαμένου πολιορκεῖσθαι τὸν χάρακος, διεξελάσας τὸν ἵππον καὶ τὰ κέντρα ὡρμηκὼς, παρῆν διὰ ταχέων, τὴν μὲν γὰρ ἄλλην δύναμιν ἐν τῷ πεδίῳ κατέχειν ἔγνω καὶ μήτε ἀνακαλεῖν μήτε κινεῖν τὴν φάλαγγα, τοὺς | δὲ | ἐλέφαντας καὶ ἀπὸ τῶν ἱππέων τοὺς εὐπολεμοτάτους ἐπιλεξάμενος ἀποστέλλει βοηθοὺς τῷ χάρακι. Ἐπὶ δὲ τούτων πορευομένων, ἐκπολιορκηθεὶς ἄφνω ὁ χάραξ ἀνάπτεται. Καὶ οἱ διαπραξάμενοι τὸ ἔργον, ὡς ἔμαθον ὑπὸ τῶν μετεώρων ἐπόντας σφίσι τοὺς ὑπὸ τοῦ βασιλέως ἀπεσταλμένους, εἰς ὄρους τινὸς κορυφὴν |ἔφυγον|, ἔνθα οὔτε τοῖς θηρίοις

4. ἔξοντες] ἕξοντες codex. ‖ 8. ἐλθόντας] sic codex. ἐλθόντες Müllerus. — εἰλήφασιν] sic codex. εἰλήφεσαν corrigit Minas. perperam, mea quidem sententia. ‖ 8-9. κομιδῇ τινες] κομιδῆ τινὲς codex. ‖ 11. ὡς ἁρξαμένου κ. τ. λ. Haec et sequentia dedi ad fidem codicis, sensu satis apto, ut mihi quidem videtur. Quem locum quum parum accurate transcripsisset Minas, varia ingeniosissime ac doctissime, ut solent, conjecerunt Dübnerus et Müllerus, scilicet ὡς ἁρξ. διεξελάσας τὸν ἵππον καὶ τὰ κέντρα ὡρμηκὼς παρῆν. Delendum γὰρ censent. ‖ 14. δὲ] omittit codex, sed inserendum videtur ex praecedentibus. ‖ 16. ἄφνω] sic legendum ex praecedentibus (vide supra, l. 5); ὑφο ponit codex. ‖ 19. ἔφυγον] om. codex. Supplevit Dübnerus.

ἀνελθεῖν ῥᾴδιον ἦν οὐδὲ τοῖς ἵπποις. Οἱ δὲ βασιλικοὶ, τοῦ καιροῦ τῆς βοηθείας ὑστερήσαντες, ἐπὶ τοὺς ἐκ τοῦ τρίτου καὶ τετάρτου τάγματος Ῥωμαίους ἐτράποντο, πολὺ προεληλυθότας ἀπὸ τῶν ἄλλων, ὅτε τοὺς κατὰ σφὰς πολεμίους ἐτρέψαντο. Περιϊδόντες δὲ αὐτῶν οἱ Ῥωμαῖοι τὴν ἔφοδον, εἰς ὑψηλόν τι καὶ λάσιον χωρίον ἀναδραμόντες, εἰς τάξιν καθίσταντο. Οἱ μὲν οὖν ἐλέφαντες, οὐ δυνάμενοι πρὸς τὸν λόφον ἀναβαίνειν, οὐδὲν αὐτοὺς ἠδίκουν, οὐδὲ αἱ τῶν ἱππέων εἶλαι. Οἱ δὲ τοξόται [καὶ] σφενδονῆται βάλλοντες πανταχόθεν κατετίτρωσκόν τε καὶ διέφθειρον ἐξ αὐτῶν συχνούς. Αἰσθήσεως δὲ γενομένης τοῖς ἡγεμόσι τῶν ἐκεῖ πρατιομένων, Πύρρος μὲν ἐκ τῆς πιστικῆς φάλαγγος Ἀθαμᾶνάς τε καὶ Ἀκαρνᾶνας καὶ τῶν Σαυνιτῶν τινας ἀποστέλλει, ὁ δὲ τῶν Ῥωμαίων ὕπατος εἴλας τινὰς ἱππέων, ἐπειδὴ τοιαύτης ἔδει τοῖς πεζοῖς συμμαχίας. Καὶ κατὰ τὸν [αὐτὸν] χρόνον ἑτέρα πάλιν ἐκεῖ γίνεται μάχη πεζῶν τε καὶ ἱππέων, καὶ φόνος ἔτι πλείω.

Ἀρξαμένου δὲ τοῦ βασιλέως, καὶ οἱ τῶν Ῥωμαίων ὕπατοι τοὺς ἑαυτῶν ἀνεκάλουν, περὶ καταφορὰν ὄντος τοῦ ἡλίου, καὶ διαβιβάσαντες τὸν ποταμὸν ἀπῆγον εἰς τὸν χάρακα, συσκιάζοντος ἤδη. Ἡ δὲ τοῦ Πύρρου δύναμις, ἀπολωλεκυῖα σκηνάς τε καὶ ὑποζύγια καὶ ἀνδράποδα καὶ τὴν ἀποσκευὴν ἅπασαν, ἐπὶ μετεώρου τινὸς

4. ἐτρέψαντο] τρεψαντο codex. — περιϊδόντες] περο V· ιδοντες codex. An legendum προϊδόντες? ‖ 5. καὶ] κε ponit codex, ex pronuntiandi ratione apud Græcos, qua Є = ΑΙ. ‖ 7. λόφον] conj. Minas. ὄχλον ponit codex. ‖ 8. εἶλαι] εἴλαι codex pro vulgato ἶλαι. — καὶ] om. codex. ‖ 9. πανταχόθεν codex. ‖ 11. πιστικῆς] sic codex. ἀσπιστικῆς conj. Minas. πεζικῆς conj. Dübnerus et Müllerus. ‖ 13. εἴλας] sic codex pro vulgato ἴλας. ‖ 14. κατὰ τὸν αὐτὸν χρόνον] κατὰ τὸν χρόνον codex. κατ' αὐτὸν τὸν χρόνον conj. Minas. κατὰ τοῦτον τὸν χρόνον conj. Müllerus. ‖ 15. ἔτι πλείω] sic codex. ἐπὶ πλείω Müllerus. ‖ 16. Post βασιλέως inserit Minas ἀνακαλεῖν.

χώρου παρενέβαλεν, ἔνθα τὴν ἐποῦσαν νύκτα διήγαγεν ἰσοαίθριος, ἀσκευής, ἀθεράπευτος, οὐδὲ τῆς ἀναγκαίας εὐπορῶσα τροφῆς, ὥστε καὶ διαφθαρῆναι συχνοὺς τραυμάτας, οἷς ἐνῆν ἐπωφελεῖσθαι βοηθείας τε καὶ ἡδεμονίας μεταλαβοῦσιν.

Τοιούτου τέλους ἔτυχεν ἡ δευτέρα μάχη Ῥωμαίοις πρὸς Πύρρον περὶ πόλιν Ἄσκλον.

ΚΕ. ΕΚ ΤΩΝ ΠΟΛΥΑΙΝΟΥ ΣΤΡΑΤΗΓΗΜΑΤΩΝ.

Ἀλεξάνδρου καὶ Πώρου.

Ἀλέξανδρος, ἐν τῇ πρὸς Πῶρον μάχῃ, τὸ μὲν ἱππικὸν ἐπὶ τῷ δεξιοῦ κέρως ἔταξεν, ἐν μετώπῳ τὸ ἥμισυ, τὸ δὲ λοιπὸν [ἐν] ἐπικαμπίῳ· τὴν δὲ φάλαγγα καὶ τοὺς ἐλαφροὺς ἐπὶ τῷ λαιοῦ κέρως ἔστησε, καὶ ὀπὸ τούτων ἐπικάμπιον ἔταξε. Πῶρος δὲ, πολλοὺς ἐλέφαντας ἀνταράξας, αὐτὸς μὲν κατὰ τὸ λαιὸν ἐπὶ τῷ ἡγουμένου ἐλέφαντος ἦν· τοὺς δὲ λοιποὺς ἐλέφαντας ἐκ διαστήματος πεντήκοντα ποδῶν μέχρι τῷ δεξιοῦ κέρως ἔστησε· τὰ δὲ [μέσα διαστήματα] τῶν θηρίων ἀνδράσι πεζοῖς ἀνεπλήρωσεν· ὥστε ἦν τὸ χῆμα τείχει μεγάλῳ παραπλήσιον· οἱ μὲν ἐλέφαντες ἐοικότες πύργοις, οἱ δὲ πεζοὶ μεσοπυργίοις. Ἔνθα δὴ παραινέσας Ἀλέξανδρος τοὺς πεζοὺς ἀνταράγειν τοῖς πολεμίοις, αὐτὸς τὴν ἵππον ἐπὶ δόρυ σφοδρότερον ἤλασεν, βουλόμε-

Titulus Ἐκ τῶν Πολυαίνου στρατηγημάτων Ἀλεξάνδρου καὶ Πώρου litteris uncialibus in codice exaratus legitur. Præest numerus ΚΕ. Ex hoc et e sequenti ΚΣ numero conjecit Müllerus olim viginti sex ejusmodi descriptiones in codice nostro exstitisse. Sed malim hosce numeros ΚΑ et ΚΣ ad ipsum Polyæni exemplar, e quo Excerpta illa descripta sunt, referre. Notandum enim est, ceteris historicorum fragmentis quibus constat codex noster, atque ipsius Asculanæ pugnæ descriptioni, nullum numerum præmitti. Fragmentum hoc e Polyæni Strategematis, quo describitur Alexandri et Pori prælium, legitur in Strategem. IV, III, 22, p. 119 ed. Coray. Repetiit C. Müllerus ex apographo Minæ quod reperitur in Cod. Suppl. Gr. n° 485. Nos ex prototypo codice damus. ‖ 1. Πῶρον] πώρον codex. ‖ 2. τὸ ἥμισυ] om. Coray. — ἐν] om. codex. ‖ 3. Τοὺς ἐλαφροὺς] sic codex. Τοὺς ἐλέφαντας Müllerus. ‖ 4. ἐπικάμπιον] ἐπικαλπιον codex. ‖ 5. ἀνταράξας] sic codex. ἀνταρατάξας Coray. ‖ 7. πεντήκοντα ποδῶν] N̄ ποδῶν ponit codex, ubi littera N̄ numeralis. ‖ 7-8. τὰ δὲ μέσα διαστήματα] τὰ δὲ τα codex. τὰ δὲ μέσα Coray. Supplevi διαστήματα ex litteris ΤΑ in codice. ‖ 12. αὐτὸς τὴν ἵππον] αὐτὸς εἰς τὴν ἵππον Co-

νος ὑπερκεράσαι τοὺς πολεμίους. Τοῦτο φυλάσσων ὁ Πῶρος ἀντιπαρῆγε· τῷ δὲ μὴ φθάνειν τὰ σημεῖα διεσπάετο τὰ πολλὰ τῆς τάξεως, τῶν τε Μακεδόνων τοῖς διασπάσμασιν ἐμπιπλόντων, ἠναγκάζετο κατὰ πρόσωπον μένειν. Οἱ δὲ περὶ τὸν Ἀλέξανδρον ἱππεῖς, ὑπερελθόντες καὶ κατὰ νώτου συνελάσαντες τοὺς Ἰνδούς, τελειοτάτην νίκην ἀνείλοντο, μεθ' ἣν βασιλεὺς Ἰνδικῆς Ἀλέξανδρος ἦν. V. fol. 91 r

ΚΣ. ΕΚ ΤΩΝ ΠΟΛΥΑΙΝΟΥ ΣΤΡΑΤΗΓΗΜΑΤΩΝ.

[Ἀντιγόνου καὶ Μεγαρέων.]

Ἀντίγονος, Μέγαρα πολιορκῶν, τοὺς ἐλέφαντας ἔπηγεν. Οἱ Μεγαρεῖς σύας καταλείφοντες ὑγρᾷ πίσσῃ καὶ ὑφάπλοντες ἠφίεσαν. Αἱ δὲ, ὑπὸ τῶ πυρὸς καιόμεναι, κεκραγυῖαι, πολλῷ δρόμῳ εἰς τοὺς ἐλέφαντας ἐνέπιπτον. Οἱ δὲ, οἰσχρῶντες καὶ ταρασσόμενοι,

ray. — ἤλασαν] ελάσαν codex. ‖ 1. πολεμίους] πολεμίους codex. ἐναντίους Coray. ‖ 2. ἀντιπαρῆγε] sic codex. Jam conjecerat Coray pro vulgato ἀντιπαρήγετο. — τῷ δὲ] τὸ δὲ codex. — διεσπάετο] sic codex pro διεσπᾶτο. Retinendum censui. διέσπα κατὰ πολλὰ τὴν τάξιν Coray. ‖ 3. διασπάσμασιν] sic Coray. διασπασιν codex. ‖ 4. κατὰ πρόσωπον μένειν. οἱ δὲ περὶ] sic codex. κατὰ πρόσωπον ὁπλιτρέφιον ἀγωνίζεσθαι. ἐν τούτῳ φθάνουσιν οἱ περὶ Coray. ‖ 5. κατὰ νώτου] κατὰ νώπυς codex. Error natus ex duplicato Σ. ‖ 6. πλειοτάτην] πλεωτάτην Coray. — βασιλεὺς Ἰνδικῆς] βασιλευσιδίκης ponit codex. Hanc sententiam, scilicet μεθ' ἣν κ. τ. λ., omittit Coray, ante quem in libris editis legebatur μεθ' ἣν ἔτι ὁ βασιλεὺς Ἀλέξανδρος Ἰνδικῆς.

Titulus Ἐκ τῶν Πολυαίνου στρατηγημάτων litteris uncialibus in codice exaratus est. Præmittitur numerus ΚΣ, de quo vide supra (pag. 293, not. 1). Fragmentum hoc, quo agitur de Antigono et Megarensibus, legitur in Polyæni Strategem. IV. VI, 3, p. 128, ed. Coray. Repetiit Müllerus ex apographo Minæ quod est in codice Supplementi nostri 485. Nos ex prototypo codice damus. Inscriptionem Ἀντιγόνου καὶ Μεγαρέων ipse posui.

ἄλλος ἄλλη διέφευγον. Ἀπήγορος τὸ λοιπὸν προστάξε τοῖς Ἰνδοῖς πρέφειν ὓς μετὰ τῶν ἐλεφάντων, ἵνα τὴν ὄψιν αὐτῶν καὶ τὴν κραυγὴν τὰ θηρία φέρειν ἐθήζοιτο.

Ἐντεῦθεν ἐπὶ τὰς πολιορκίας καὶ τὰς ἐκ τῶν ἔνδον παρασκευάς, εἰ μὴ γραφὴν ἀγνωμοσύνης φεύγειν ἐθέλοιμεν, ὁ λόγος ἔρχεται προάξεσι [ταῖς] πάλαι τὸ τῶν μηχανῶν πιστούμενος χρήσιμον.

Ὑσμείνην δεδάηκας ἀμετροβίων ἐλεφάντων·
Ἰνδοφόροις κρατερὸς οὐ τρομέεις πολέμοις.

1. διέφευγον] sic codex. διέφυγον Müllerus. ‖ 1-2. πῆς Ἰνδεΐς] sic codex. Male πρὸς Ἰνδοὺς transcripsit Minas. ‖ 4. Ἐντεῦθεν κ. τ. λ.] Haec verba subjecit Epitomator, ut a præliorum descriptione ad obsidiones transiret. Qui videtur, secundum morem apud Byzantinos sæpius usurpatum, versus factitare voluisse, ut apparet non solum ex disticho Ὑσμείνην δεδάηκας κ.τ.λ. sed etiam ex dodecasyllabis illis, quos jam notavit Müllerus: Ὁ λόγος ἔρχεται προάξεσι [ταῖς] πάλαι Τὸ τῶν μηχανῶν πιστούμενος χρήσιμον. ‖ 6. προάξεσι ταῖς πάλαι] προάξεσι παλαι ponit codex. ταῖς conj. Müllerus. παλαιαῖς conj. Minas.

8. ὑσμείνην] sic codex pro vulgato ὑσμίνην. Retinendum censui, quia syllaba producitur. Distichon epigramma Ὑσμείνην δεδάηκας κ. τ. λ. litteris uncialibus in codice exaratum est.

ΕΚ ΤΩΝ ΔΕΞΙΠΠΟΥ.

Πολιορκία Μαρκιανουπόλεως.

..... Μαρκιανούπολιν· τὸ δὲ ὄνομα Τραϊανῆ τῆ βασιλέως τὴν ἀδελφὴν ἐνδεδωκέναι τῇ πόλει λέγουσιν οἱ ἐγχώριοι. Ταύτην δὴ ὧν τὴν πόλιν οἱ Σκύθαι ὡς δὴ κατὰ κράτος ἁλώσιμον εἶναι νομίσαντες, ἐπεῖχον μὲν τῆς εὐθὺ προσβολῆς, λίθους δὲ ὅπλεους παρεφόρουν πρὸ τῆ τειχίσματος, ὡς χύδην ἢ σωρηδὸν καταπεπτωκότων ἀφθόνως ὑπάρχειν χρῆσθαι· ὥοντο γὰρ φόνον τε πολὺν ἐπὶ τῆ τείχους οὕτως συμβήσεσθαι, καὶ τῶν πολεμίων ἐν τῷ φυλάσσεσθαι μᾶλλον [ἢ] πάντ' ἐπιχειρεῖν ὄντων, ῥᾳστώνῃ τὴν πόλιν αἱρήσειν. Τοῖς δὲ ἐν τῷ ἄστει πάλαι τε παρεσκεύαστο ὅσα ἐς πολιορκίαν ἐπιτήδεια· ἦ Μάξιμος, ἀνὴρ γένος μὲν τῶν ἀπόρων μετακούων, φιλοσοφίᾳ δὲ ἄρα συζῶν, ὃ μόνον στρατηγοῦ, ἀλλὰ

Titulus Ἐκ τῶν Δεξίππου πολιορκία Μαρκιανῆ (*sic*) πόλεως litteris uncialibus in codice exaratus est. Fragmentum hoc Dexippi de obsidione Marcianopolis ex apographo Minæ (Cod. Par. Suppl. Gr. 485) edidit C. Müllerus. Nos ex prototypo codice damus. ‖ 3. κατὰ κράτος] κατακρατως codex, tanquam legendum esset uno verbo κατακράτως. — ἁλώσιμον] ἁλώσιμων codex. ‖ 4. ἐπῖχον μὲν] ἐπιχομεν codex. ἀπῖχον μὲν conj. Dübnerus. Lectionem ἐπῖχον retinendam censui. Confer ἐπίχει τῇ λόγῳ apud Plat. *Lys.* 210; τῇ χράσθαι apud eumd. *Phædr.* 257. — προσβολῆς] προσβολης ponit codex, propter confusionem litterarum O et C in scriptura unciali. Adest in codice signum √· ‖ 6. καταπεπτωκότων] καταπεμπτωκότων codex. καταπεπτωκόσιος conj. Dübnerus. Potest etiam legi καταπεπτωμένων. — ἀφθόνως] conj. Minas. αφθων ὡς ponit codex. — φόνον] conj. Minas. φθονει ponit codex. ‖ 8. μᾶλλον ἢ πάντ' ἐπιχειρεῖν] ἢ supplevi ex conjectura. Cetera codex habet. Male ponit πάντες Minæ apographum. μᾶλλον ἢ ἐν τῷ ἐπιχειρεῖν conj. Müllerus. — ῥᾳστώνῃ] ῥᾴστων. ἢ dividit codex. ‖ 9-10. ὅσα ἐς πολιορκίαν] ὁσασιπολιορκιαν ponit codex, ubi confusio litterarum Ε et C ex scriptura unciali. ‖ 10. ἀπόρων] απορω codex. ‖ 11. μετακούων] μετακου ponit codex. An legendum μετα-

καὶ στρατιώτου ἀγαθοῦ ἔργα ἐν τῷ τότε ἕτοιμος ὢν ἐπιδείκνυσθαι, ἐπεθάρρυνέν τε ἑκάστους καὶ παρῄνει· ὅτε δὲ ἐκ χειρὸς ἀκροβολίζοιντο οἱ πολέμιοι, τοῦ ἀμύνεσθαι ἀπεχομένους ὑπὸ ταῖς ἐπάλξεσιν ἱσταμένους ἔχειν σφῶν αὐτῶν φυλακὴν, τάς τε ἀσπίδας προϊσχομένους καὶ ὅσα δύναται στέγειν καὶ ἀποκρούεσθαι τὰς τῶν ἐναντίων βολάς. Ὡς δὲ ἱκανῶς ἔχειν ἐδόκει τοῖς βαρβάροις τῆς τῶν λίθων παρασκευῆς, ἀθρόοι περιχυθέντες ἐν κύκλῳ τὸ τεῖχος, οἱ μὲν ἀκόντια μεθίεσαν, οἱ δὲ λίθοις ἠκροβολίζοντο τοὺς ἐπὶ τῶν ἐπάλξεων, καὶ συνέχεια [ἦν] τῶν μεθιεμένων, ὡς χαλάζῃ τῇ πυκνοτάτῃ προσεοικέναι κατὰ τὸ ἐπάλληλον τῆς φορᾶς. Οἱ δέ γε εἴσω τοῦ ἄστεως σφάς τε αὐτοὺς κατὰ τὸ δυνατὸν καὶ τὸ τεῖχος ἐφύλασσον· ἀπείχοντο δὲ τοῦ ἀμύνεσθαι ᾗπερ αὐτοῖς προσετέτακτο. Ὡς δὲ ἐπ' οὐδενὶ ἔργῳ λαμπρῷ ἥ τε τῶν λίθων ἐκενώθη τοῖς βαρβάροις παρασκευὴ καὶ ὅσα ἐκ χειρὸς ἢ ἀπὸ τόξου ἀκόντια, ἥ τε ἐλπὶς αὐτοῖς τοῦ σὺν οὐδενὶ πόνῳ τὴν πόλιν αἱρήσειν ἀνάλωτο, ἀθυμίᾳ δὴ ἔσχοντο, καὶ τῶν στρατηγῶν ἀνακαλεσάντων ἀπῄεσαν, οὐ πόρρω τῆς πόλεως τὴν στρατοπεδίαν ποιούμενοι· καὶ γὰρ ἦν τῆς ὥρας ἀμφὶ ἡλίου δυσμάς. Διαλιπόντες δὲ ἡμέρας

κούων vel μετακούσας? Male μεταβου transcripsit Minas, quippe quum in scriptura x^mi sæculi litteræ β et κ facile confundantur. μεταλαβών vel μετοίκων conjecit Müllerus. Certe latet vitium in codice. — συζῶν] συζὼν codex. ‖ 1. ἕτοιμος] ἑτοιμως primum scripserat librarius, sed ipse correxit. ‖ 2. ὅτε δὲ] ὅτε δὴ conj. Müllerus. ‖ 8. μεθίεσαν] μετίεσαν codex. — Post ἠκροβολίζοντο signum √· occurrit in codice. Paulo superius margo codicis habet notam ἐκ τῶν ἀκροβολιστῶν litteris uncialibus exaratam. ‖ 9. συνέχεια ἦν] ἦν supplevi. συνεχείᾳ ἐχρῶντο conj. Müllerus. ‖ 12. ἀπείχοντο] sic codex. ἀπεῖχον transcripsit Minas, unde Müllerus. — ᾗπερ] corr. Minas. εἴπερ codex. ‖ 13. ἐκενώθη] ἐκεινωθη cum signo √· codex. ‖ 16. ἀνάλωτο] sic codex more Attico. Conjecit Minas ἀνάλωτον οὖσαν, perperam. — ἔσχοντο] εἴχοντο corr. Müllerus. ‖ 17. στρατοπεδίαν] sic codex pro vulgato στρατοπεδείαν.

οὐ μάλα συχνὰς καὶ ἐπελθόντες αὖθις καὶ περιστάντες ἐν κύκλῳ τὸ τεῖχος ἠκροβολίζοντο· ὅτε δὴ Μάξιμος τοῖς ἐν τῷ ἄστει καιρὸν εἶναι τῆς ἐπιθέσεως ἐπηγγέλλετο. Γίνεται δὴ οὕτω· καὶ ἀναθαρρήσαντες διὰ τὴν ἐν τῇ προτέρᾳ τῶν βαρβάρων ἄπρακτον ἀναχώρησιν, βοήν τε ἦραν καὶ λίθους καὶ ἀκόντια ὡς εἶχον μεθίεσαν· οἷα δὴ οὖν πυκνῶν ἀλλήλοις ἐφεστηκότων τῶν βαρβάρων καὶ διὰ τὸ ἀπροσδόκητον τοῦ ἀντιπάλου ἂν σφίσιν ἄνωθέν τι ἀπαντῆσαι οὐκ ἐς τὸ ἀκριβὲς πεφραγμένων, πρὸς δὲ καὶ ἀθρόαις ταῖς βολαῖς καὶ ταῦτα ἐκ μετεώρου βαλλομένων· καὶ διὰ πλῆθος τῶν ἐναντίων οὐδὲ ἐθέλοντας ἦν ἁμαρτεῖν τοὺς ἀπὸ τοῦ ἄστεως. Βιαζόμενοι δὴ οὖν οἱ Σκύθαι καὶ μηδὲ ἀντιδρᾶν ἔχοντες τοὺς Μυσοὺς, διά τε τὰς ἐπάλξεις καὶ τὴν ἐκ τῶν θυρῶν φυλακὴν, ἀπαγορεύοντες πρὸς τὰς πληγὰς, καὶ ὡς οὐκ ἦν αὐτοῖς περαιτέρω καρτερεῖν, ἀνεχώρησαν ἄπρακτοι.

Ms fol. 92 r

1. περιστάντες] corr. Minas. περιστάντας codex. ‖ 4. προτέρᾳ] προτεραίᾳ conj. Minas. ‖ 5. μεθίεσαν] μεθῆσαν codex. ‖ 7. ἀντιπάλου] sic codex. ἀντίπαλον conj. Müllerus. Forte turbatus in codice verborum ordo. Explicat Minas: οἷα δὴ οὖν πυκνῶν ἀλλήλοις ἐφεστηκότων τῶν βαρβάρων καὶ οὐκ ἐς τὸ ἀκριβὲς πεφραγμένων, διὰ τὸ ἀπροσδόκητον τοῦ ἀντιπάλου τι ἄνωθεν ἂν ἀπαντῆσαι. ‖ 8. πεφραγμένων] scripserat primum librarius πεπραγμένων, quod ipse mutavit in πεφραγμένων. ‖ 8–9. Verba πρὸς δὲ καὶ . . . ἐκ μετεώρου βαλλομένων uncis seclusit Müllerus, tanquam ab Epitomatore male inculcata. Dedi ex codice. ‖ 9. διὰ πλῆθος] sic codex. διὰ τὸ πλῆθος Müllerus. ‖ 10. τοῦ] om. Müllerus. ‖ 11. δὴ οὖν] corr. Minas. δηλοῦν ponit codex. — μηδὲ] μὴ δὲ codex. μὴ conj. Minas. unde Müllerus. ‖ 12. θυρῶν φυλακὴν] evanuerunt in codice aliquot litteræ, neque legitur hodie nisi θυρ . . . . φυλακὴν. Restituit Minas θυρ[ῶν καιρο]φυλακὴν, sed potius legendum censeo θυρ[ῶν ἀκρο]φυλακὴν, quantum ex vestigiis litterarum fere evanidarum conjici potest.

ΕΚ ΤΩΝ ΔΕΞΙΠΠΟΥ.

Πολιορκία Φιλιππουπόλεως.

..... τὴν Φιλιππούπολιν. Ἔστι δὲ ἡ πόλις αὕτη μεθορίως μὲν τῆς Θρᾳκῶν καὶ Μακεδόνων γῆς· κεῖται δὲ ἐπὶ τῷ Ἕβρῳ ποταμῷ· οἰκισὴν δὲ αὐτῆ γενέσθαι λέγουσι Φίλιππον τὸν Ἀμύντου Μακεδόνων ἄρχοντα· ἀφ' ἧς δὴ καὶ τὸ ὄνομα τῇ πόλει ἐγένετο. Ταύτῃ δὴ οἱ Σκύθαι ὡς ἀρχαιοτάτῃ καὶ μελίσῃ προσέβαλλον ἐς πολιορκίαν. Ἐπολεμεῖτο δὲ αὐτοῖς ὁ πόλεμος ὧδε. Ὑπερφέροντες τῶν κεφαλῶν τὰς ἀσπίδας τῶν μεθειμένων ἐν σκέπῃ εἶναι, κύκλῳ τῆς πόλεως περιῆσαν, καταδεώμενοι ὅπη εὐαποτείχισον ἢ κὴ ἐπίβαιεν ἐν τῇ προσαγωγῇ τῶν κλιμάκων ὑπάρχοι διὰ στενότητα ἢ κὴ χθαμαλότητα τῶν τειχῶν. Καὶ τὸ μὲν πρῶτον ἐποιοῦντο προσβολὰς ἐν ἀκροβολισμοῖς κὴ ὀξείαις· οἱ δὲ ἄνωθεν ἠμύνοντο καρτερῶς, ὅπη πελάζοιεν οἱ πολέμιοι. Αὖθις δὲ αὖ τῆς πόλεως ἐπειρᾶζον, κλίμακας πηξάμενοι καὶ

Titulus Ἐκ τῶν Δεξίππου πολιορκία Φιλίππου (*sic*) πόλεως litteris uncialibus in codice exaratus est. Fragmentum hoc Dexippi de obsidione Philippopolis ex apographo Minæ (Cod. Par. Suppl. Gr. 485) edidit C. Müllerus. Nos ex prototypo codice damus. ‖ 3. οἰκισὴν δὲ αὐτῇ] οἰκισὴν αὐτῆς proponit Minas, perperam. ‖ 6. ὧδε] corr. Müllerus. ὡς δὲ ponit codex. ‖ 7. μεθειμένων] sic recte codex. sensu passivo, ut mihi quidem videtur. μεθειμένων conj. Müllerus. ‖ 7-8. ἐν σκέπῃ εἶναι] sic certe legendum. Etenim litteras ενσκεπιειται ponit codex, ubi O = C, I = H, ex scriptura unciali et iotacismo. Transcripsit, sed non intellexit Minas. Primus, quidnam rei esset, vidit Dübnerus. Est autem subaudiendum ὥστε. ‖ 8. περιῆσαν] περιεισαν ponit codex, more veterum inscriptionum ubi sæpissime ει = ι. ‖ 9. κλιμάκων] correxit Minas. κλιμακπων codex. ‖ 13. αὖ τῆς] conj. Dübnerus. αυτης codex. αὐτὴ conj. Minas. αὐτῆς τῆ conj. Müllerus.

μηχανάς. Τὰ δὲ μηχανήματα ἦν ξύλα πεπηγότα τετράγωνα, ἐπιτεχνήματα οἰκίσκοις ἐμφερῆ· καὶ αὐτῶν βύρσας ὑποτεινόντες, ὡς παντὸς τοῦ μεθιεμένου ἀβλαβῶς ἔχειν, προσέπιπτον ταῖς πύλαις, σφῶν τε τὰς ἀσπίδας προβεβλημένοι καὶ μετακινοῦντες αὐτὰ τροχοῖς καὶ μοχλίαις. Οἱ δὲ λίνες, ξύλα προμήκη σιδήρῳ καταπεφραγμένα ὡς μὴ ἀποθραύεσθαι ἐν τῇ προσβολῇ μετεωρίζοντες, ἐπέφερον συναράσσειν τῷ τείχει· ἕτεροι δὲ κλίμακας προσήρεισαν, τὰς μὲν ἐπ' εὐθὺ πεπηγυίας, τὰς δὲ ὑπὸ τροχοῖς κινουμένας ἐπὶ θάτερα· ἃς δή, ὅτε προσάγοιντο, κάλοις ἀπ' ἄκρων τῶν κλιμάκων ἠρτημένοις ἀνέπλυσσον ὡς ὀρθουμένας ἐμβάλλειν τοῖς τείχεσιν. Ἦσαν δὲ οἳ καὶ πύργους ξυλίνους τῷ τείχει ὑποτρόχους ἐπῆγον, ὡς, ὅτε πελάσοιεν, ἐπβολῇ γεφυρῶν τὴν διάβασιν ἀπὸ τούτων ἐξ ἰσοπέδου ποιήσονται. Καὶ ἦδε μὲν αὐτοῖς ἀφθονία μηχανημάτων. Ἀντήρκουν δὲ πρὸς ἅπαντα καὶ οἱ Θρᾷκες, τὰ μέν λινα τῶν μηχανῶν λίθοις μεγάλοις ἀμαξιαίοις συναράσσοντες αὐτοῖς ἀνδράσι, τὰ δὲ καὶ καταπίμπραντες δαδὶ καὶ θείῳ καὶ πίσσῃ· τῶν δὲ κλιμάκων κατεκυλίνδουν δοκοὺς ἐγκαρ-

1. μηχανήματα] μηχάνημα codex. ‖ 2. ὑποτεινόντες] corr. Minas. ὑποτείνοντες codex. ‖ 3-4. προσέπιπτον ταῖς πύλαις] προσεπίπτοντες πυλαις ponit codex, ubi πς = παις, ex pronuntiandi ratione apud Græcos. προσεπίπτοντες ταῖς πύλαις transcripsit Minas, unde Müllerus. ‖ 5. προμήκη] προμικη codex, videlicet ex iotacismo. ‖ 7. ἐπέφερον συναράσσειν] sic codex. ἐπέφερον συναράσσειν Müllerus. ‖ 8. προσήρεισαν, ταῖς μὲν] scripsi ad verbum ex codice ubi προσηεισαν τας μεν. Male προσηρείσαντες ταῖς μὲν conjecit Minas. — ὑπὸ τροχοῖς] sic codex. ὑποτρόχους conj. Müllerus. ‖ 9. ἃς δή] sic codex. αἳ δὴ Müllerus. ‖ 9-10. ἀπ' ἄκρων τῶν] conj. Müllerus. ἀπαιρῶτων codex. ‖ 10. ἠρτημένοις] corr. Minas. ἠοτυμένοις codex. ‖ 12. ὑποτρόχους] ὑπο τρυχους codex. — πελάσοιεν] sic codex. πελάσαιεν Müllerus. ‖ 13. ποιήσονται] sic codex. ποιήσοντες ex Mina Müllerus. ‖ 15. ἀμαξιαίοις] ἀμ. codex. ‖ 16. Post καταπίμπραντες occurrit signum γ prima manu depictum in codex.

σίας καὶ λίθους, ὡς ἐπὶ τῇ βιαίᾳ φορᾷ τάς τε ἀσπίδας τῶν ἐπαγόντων καὶ τὰς κλίμακας ἐν τῇ ἐμβολῇ ἀποθραύεσθαι. Ὡς δὲ ἤδὲν ἐπλεονέκτουν ταῖς μηχαναῖς οἱ πολέμιοι, ἀθυμίᾳ δὴ εἴχοντο, καὶ βουλὴν ἐποιεῦντο εἰ δεῖ πολεμεῖν, ἔδοκει χώματα χοῦν μετέωρα πρὸς τὴν πόλιν, ὡς εἶναι σφίσιν ἀπ' ἴσου πρὸς τοὺς ἐναντίους μάχεσθαι. Ἔχουν δὲ ὧδε· ξύλα ἐκ τῶν περιξ οἰκοδομημάτων συνεφόρουν, καὶ προβαλλόμενοι πρὸ σφῶν τὰς ἀσπίδας, ἐνέβαλλον αὐτὰ ἐς τὴν τάφρον καὶ εὐθὺ καὶ παράλληλα, ἔπη συμβαίνει. Ποιήσαντες δὲ ταῦτα, χοῦν καὶ ὕλην παντοίαν ἐπεφόρουν μεταξὺ τῶ χείλους ἑκατέρου τῆς τάφρου. Καὶ οὕτω ταχεῖαν εἰργάσαντο τῶ χώματος τὴν αὔξησιν. Ὁρῶντες δὲ τὸ προσπίπτομενον οἱ Θρᾷκες καὶ ὅτι πρὸς σφᾶς τὸ χῶμα ἀντετειχίζετο, ξύλα πήξάμενοι καὶ τύποις σανίδα προσαρτήσαντες, πρόβλημα μετέωρον ἐπὶ τῷ τειχίσματι ἤγειρον. Καὶ ἐπὶ τῷδε ἐμηχανῶντο τοιόνδε· καθῆκαν ἀπὸ τῶ τείχους νύκτωρ ἀπὸ κάλων, ἐπ' αὐτό που τὸ ἡσυχάζον, ἄνδρα εὐπολμόν τε καὶ γενναῖον, δόντες αὐτῷ φέρειν ἐπὶ τὸ χῶμα δᾷδα ἠμμένην καὶ σπεῦος ἵνα πίπτα τε ἦν καὶ θεῖον καὶ τὰ τοιαῦτα. Ἐμβάλλει δὴ ἔν τὸ πῦρ τοῖς ἀνέχουσι τὸ χῶμα ξύλοις, καὶ ἀθρόα γίνεται καέντων τῶ χώματος ἡ κατάπλωσις. Ἐπεὶ δὲ καὶ ἐν τύποις μεῖον εἶχον οἱ Σκύθαι, ἔδοκει

1. βιαίᾳ φορᾷ] βια ωφορα codex. ‖ 3. ἀθυμίᾳ] ἀθυμίαν in codice primum scripserat librarius, sed ipse litteram ν delevit. ‖ 4. εἰ δεῖ] ἠδει codex. ἤδη Minas. ἢ δεῖ Müllerus, qui etiam ἢ δεῖ ποιεῖν proponit. ‖ 5. χοῦν] conj. Müllerus. χοῦν codex. — ἀπ' ἴσου] sic codex. ἐπίσου Müllerus. ‖ 6. Post μάχεσθαι est signum √· prima manu depictum in codice. ‖ 7. πρὸ σφῶν] corr. Minas. προς σφων ponit codex cum Σ duplicato, quæ menda frequenter occurrit etiam in inscriptionibus. ‖ 13. σανίδα] sic codex. σανίδας conj. Minas. ‖ 14. ὅπη τῷδε] corr. Minas. ἐπι τοδι ponit codex. ‖ 14-15. ἐμηχανῶντο] sic codex. ἐμηχανήσαντο Müllerus. ‖ 20. μεῖον] conj. Mül-

αὐτοῖς καὶ τὰ ἀχρεῖα τῶν ὑποζυγίων καὶ τῶν αἰχμαλώτων ὅσοι νόσῳ ἢ χρόνῳ διὰ γῆρας κακοπάθουν [κτεῖναι]· κτείναντες [δ'] ἐνέβαλον εἰς τὴν τάφρον, καὶ ὕλην παντοίαν ἐπεφόρουν. Τὰ δὲ σώματα ὄρη τελταῖα γενόμενα ὕψος ὑ μέτρον παρεῖχεν ἐξοι- M. fol. 93 r°
δοῦντα τῷ χώματι. Οἱ δὲ Θρᾷκες, μέρος τι τοῦ τείχους διακό- a
ψαντες ὅσον ἐς μέγεθος πυλίδος στενῆς, εἰσεφόρουν κατὰ τοῦτο παρὰ σφᾶς ὅσαι νύκτες τὸν χοῦν· ὡς δὲ πάντη ἄπορος τῇ γνώμῃ ἐγίνοντο οἱ βάρβαροι, ἐδόκει ἀναχωρεῖν. Καὶ τοῦτο τῇ πολιορκίᾳ τέλος τοῖς Σκύθαις ἐγένετο.

ΕΚ ΤΩΝ ΔΕΞΙΠΠΟΥ.

Σίδης πολιορκία.

Ἐπολιόρκουν οἱ Σκύθαι τὴν Σίδην· πόλις δὲ αὕτη τῶν ἐν Λυκίᾳ. Ὡς παρασκευή τε πᾶσα ἦν ἄφθονος εἴσω τείχους καὶ πλῆθος ἀνδρῶν ὑ νωθρῶς ἀπομένων τὸ ἔργον, μηχαναὶ ἐποιοῦντο κῆ τοιαῦται τῷ τείχει. Οἱ δὲ κῆ τοὺς ταύτας ἀντήρκουν, καθιέντες ὅσα κωλύματα. Πύργους δὲ ἐπὶ τούτῳ ξύλα ἰσομεγέθους τῷ τείχει κατεσκεύαζον κῆ ἐκείνου ὑποτρόχους ὡς ἐγγὺς ἵσασθαι. Προεβέβλητο δὲ τῶν πύργων οἱ μὲν σίδηρον ἐπλέπλον ἐλπλα-

lerus. σημεῖον codex. ‖ 2. κτεῖναι] om. codex, ubi certe excidit aliquid. — Post κτείναντες particulam δέ conj. Müllerus. ‖ 4. παρεῖχεν] sic recte codex. Scripsit παρῄρχετο Minas, perperam.

Titulus Ἐκ τῶν Δεξίππου Σίδης πολιορκία litteris uncialibus in codice exaratus est. Fragmentum hoc Dexippi de Sidæ obsidione ex apographo Minæ (Cod. Par. Suppl. Gr. 485) edidit C. Müllerus. Nos ex prototypo codice damus. ‖ 14. δὲ ὅπῃ] sic codex. δ' ὅπῃ Minas. ‖ 15. καὶ ἐκείνου] corr. Minas. κλεπουν codex. — ὑποτρόχους] ὑποτροχους codex. ὑπὸ τρόχους dividit Minas. ‖ 16. ὁπλεπλον] sic uno verbo legendum censeo. ὅπλ ἐπλον dividit

σμένον καὶ ἐπὶ πολὺ τῶν ξύλων καταπεπηγότα· οἱ δὲ δέρειν καὶ ὅσα πυκὶ ὀχ ἁλώσιμα. Ἀντεμηχανήσαντο δὲ κῇ οἱ ἐν τῷ ἄστεως τοιόνδε· σανίδας μεγάλας ὀρθίας προσποιούμενοι καθ' ὅπη ἔμελλον οἱ ἐναντίοι ποιήσασθαι τὴν προσαγωγὴν τῶν μηχανῶν, κῇ αὖ ἐγκάρσια ξύλα καὶ ἰκρία ταύταις παραπήξαντες, μέσαις αὐταῖς ἐπεκταίνοντο θυείδας ὅσον εἰς ὑποδοχὴν ἀνδρὸς τὴν ἄχει στέρνα, ὡς ὑπερέχοντας αὐτῶν κατὰ ὕψος ἐν μετεώρῳ ἔχειν ἀμύνεσθαι. Ποιήσαντες δὲ ταῦτα, ἐν μετεώρῳ καθίεσαν ἀρτῶντες κύκλῳ ἐφεδρίδας τε καὶ νάκη, ὡς ἂν τὰ βιαῦτα προβλήματα μήτε εὔφλεκτα εἴη κῇ τῇ ἀπαλότητι αὐτῶν κατέχοι τὰ προσπηγνύμενα, ἐν ἀντικόπτοντα τῇ βίᾳ πληγῆς. Γενομένης δὲ πείρας ἐπὶ τούτοις ἑκατέρωθεν καὶ μάχης καρτερᾶς, ὡς ἄπρακτος ἦν τοῖς Σκύθαις ἡ διατριβὴ καὶ οὐδὲν προυχώρει ἐς ἐλπίδας, ἀνεχώρουν.

Müllerus. ‖ 1. ὅπη πολὺ] ὅπηπολὺ codex. ‖ 2. ὀχ ἁλώσιμα] ουκαλωσιμα codex. ‖ 8. ἀμύνεσθαι] ἀμύναδαι in codice scripserat primum librarius, sed ipse mutavit in ἀμύνεδαι. ‖ 10. μήτε εὔφλεκτα] sic codex, quocum conferendus est Suidas qui, sub verbo Ἐφεστρίς, ait: Ἐξ ὧν οἱ πολέται ταῖς ἐφεστρίσι καλυπτόμενοι, βάλλουσι τοὺς ὑπὸ τῶν τειχῶν. ὕφασμα ἐξ αἰγείων τριχῶν. Idem addit: Ἀρτῶντες κύκλῳ ἐφεστρίδας, καὶ τάκη, ὡς ἂν τὰ τοιαῦτα προβλήματα μὴ εὔφλεκτα εἴη. Quæ plane cum Dexippi textu consentiunt, excepto quod, pro μήτε, posuerit μὴ Suidas. ‖ 12. καρτερᾶς] sic codex. κραπερᾶς ex Mina Müllerus. — ἄπρακτος] απρακος in codice scripserat librarius, sed addidit litteram τ supra lineam. ‖ 13. οὐδὲν] sic codex. οὐδὲ ἓν ex Mina Müllerus. — ἐς] sic codex. εἰς Minas, unde Müllerus.

ΕΚ ΤΩΝ ΠΡΙΣΚΟΥ.

Πολιορκία πόλεως Ὀβίδουναι.

Οὐάλιψ ὁ πάλαι, τὸν Ῥούβωνα τῶν Ρωμαίων ἐπανασήσας τοῖς ἑῴοις, καταλαβὼν Ὀβιδουνῶν πόλιν ὡρὸς τῇ ὄχθῃ κειμένην τοῦ ποταμοῦ, ἰνάς τε τῶν πολιτῶν διεχειρίσατο, καὶ σύμπαντα τὰ ἐν τῷ ἄστει ἀθρόα χρήματα, καταῤῥέχειν τὴν Θρᾳκῶν καὶ Ἰλλυρίων παρεσκεύαζετο, μετὰ τῶν νεωτερίζειν σὺν αὐτῷ ἑλομένων. Τῆς δὲ παρασκομένης αὐτῷ πεμφθείσης ἐκ βασιλέως δυνάμεως [καὶ πεζομαχίας] γενομένης, τοὺς πολιορκοῦντας ἐκ τῶν περιβόλων ἠμύνετο, ἐφ' ὅσον αὐτῷ τε καὶ τοῖς ἀμφ' αὐτὸν οἷά τε ἦν καρτερεῖν. Ἡνίκα γὰρ ἀπηγορεύοντο πόνῳ διαδοχῆς τὸ Ρωμαϊκὸν μάχεσθαι πλῆθος, εἰς τὰς ἐπάλξεις τοὺς παῖδας τῶν αἰχμαλώτων ἰσῶντες, τὴν τῶν ἐναντίων βελῶν ἐπεῖχον φοράν. Φίλοι γὰρ τῶν Ρωμαϊκῶν παίδων οἱ στρατῶται· ὅτε ἔβαλλον εἰς τοὺς ἐπὶ τοῦ τείχους, ὅτε ἠκόντιζον· καὶ ὅπως αὐτῷ τρεφομένου τοῦ χρόνου, ἐπὶ συνθήκαις ἡ πολιορκία ἐλύετο.

Titulum Ἐκ τῶν Πρίσκου πολιορκία πόλεως Ὀβίδουναι litteris uncialibus exaratum præbet codex. Fragmentum hoc Prisci Rhetoris, qui etiam Panites vel Thrax audit (de quo vide Fabric. *Bibl. græc.* vol. VII, p. 539 ed. Harles) nunc primum in publicam lucem prodit. ‖ 1. Οὐάλιψ] Ουαλιψ codex, nullo spiritu vel accentu. — Ῥούβωνα] ρουβους codex, nullo spiritu vel accentu. ‖ 2. Ὀβιδουνῶν] οβιδουνον codex, sed ex titulo Ὀβίδουναι videtur esse legendum Ὀβιδωνῶν. Nomen urbis novum. Confer tamen ἔθνος Ὀβυδίνης in Notitia Episcopatuum Andronici Palæologi senioris (*Hieroclis Synecdemus* ed. Parthey, Berolini, 1866, p. 232, l. 3) ubi refertur inter gentes Bulgariæ. Nominatur enim ὁ (μητροπολίτης) Καυκάσου ἐκ ἔθνει Ὀβυδίνης, adjectis hisce verbis: καὶ αὐτὸ ὑποκεῖται ὅσα τῆς Βουλγαρίας ἐπαρχίᾳ. ‖ 3. διεχειρίσατο codex. ‖ 6. αὐτῷ] αὐτῶν codex. ‖ 7. καὶ πεζομαχίας] scripsi ex conjectura. πιχης ponit codex. — γενομένης] sic codex, sed librarius, deletis litteris ης, mutavit in γενομένοι. ‖ 14. ἡ πολιορκία] correxi. ἢ πολιορκίαις codex.

ΕΚ ΤΩΝ ΠΡΙΣΚΟΥ.

Ναϊσσοῦ πολιορκία.

Ἐπολιόρκουν οἱ Σκύθαι τὴν Ναϊσσόν· πόλις δὲ αὕτη τῶν Ἰλλυρίων ἐπὶ Δανούβᾳ κειμένη ποταμῷ. Κωνσαντῖνον αὐτῆς εἶναι οἰκιστὴν φασιν, ὃς καὶ τὴν ὁμώνυμον ἑαυτῷ πόλιν ἐπὶ τῷ Βυζαντίῳ ἐδείματο. Οἷα δὴ ὂν πολυάνθρωπόν τε πόλιν αἱρήσειν οἱ βάρβαροι μέλλοντες καὶ ἄλλως ἐρυμνὴν, διὰ πάσης ἐχώρουν πείρας. Τῶν δὲ ἀπὸ τῆς ἄστεως ὑπαρούντων ἐπεξιέναι πρὸς μάχην, τὸν ποταμὸν ὥστε ῥᾳδίαν εἶναι πλήθει τὴν διάβασιν ἐνεφύρησαν κατὰ τὸ μεσημβρινὸν μέρος, καθ' ὃ καὶ τὴν πόλιν παρρεῖ, καὶ μηχανὰς τῷ περιβόλῳ προσῆγον, πρῶτον μὲν δοκοὺς ἐπὶ τροχῶν κειμένας διὰ τὸ πρόχειρον αὐτῶν εἶναι τὴν προσαγωγήν· αἷς ἐφεζῶτες ἄνδρες ἐς τοὺς ὑπὸ τῶν ἐπάλξεων ἀμυνομένους ἐτόξευον, τῶν ἐξ ἑκατέρας κερκίδος ἑστώτων ἀνδρῶν ὠθούντων τοῖς ποσὶ τοὺς τροχοὺς καὶ προσαγόντων ὅπη καὶ δέοι τὰς μηχανὰς, ὡς ἂν εἴη βάλλειν ἐπίσκοπα διὰ τῶν ἐν ταῖς ἐφεδρίσι πεποιημένων θυρίδων. Ὥστε γὰρ τοῖς ἐπὶ τῆς δοκοῦ ἀνδράσιν ἀκίνδυνον εἶναι τὴν μάχην, αὐτοὶ διαπλοκαῖς ἑκαλύπτοντο δέρρεις καὶ διφθέρας ἐχούσαις, κώλυμα τῶν τε ἄλλων βελῶν καὶ ὅσα ἐπὶ σφᾶς πυρ-

Titulus Ἐκ τῶν Περὶ τὴν Ναϊσσὸν πολιορκία litteris uncialibus in codice exaratus est. Fragmentum hoc Prisci, ut præcedens, ineditum est. ‖ 1. Ναϊσσόν] correxi ex titulo. αἴσσον codex. Ναϊσός ponit Hierocles in Synecdemo (ed. Wesseling p. 654, 6; ed. Parthey, p. 16, l. 6). *Naïssus* vel *Naïsus* est oppidum Daciæ. ‖ 2. Δανούβᾳ] δαιουβα codex. ‖ 8. παρρεῖ] παῤῥει codex. ‖ 15. ὥστε γὰρ τοῖς] ὥστ γὰρ ἐν τοῖς codex. ‖ 16. αὐτοὶ] αὐτοῖς codex. — διαπλοκαῖς] διαπλοκαις codex.

φόρα ἐκπέμποιτο. Πολλῶν δὲ τῷ τρόπῳ τούτῳ ἐπιτειχισθέντων Ibid.
ὀργάνων τῇ πόλει, ὥστε διὰ πλῆθος βελῶν δοῦναι καὶ ὑποχωρῆσαι
τοὺς ἐπὶ τῶν ἐπάλξεων, προσήγοντο καὶ οἱ καλούμενοι κριοί. Με-
γίστη δὲ ἄρα καὶ ἥδε ἡ μηχανή· δοκὸς ἐκ ξύλων πρὸς ἄλληλα
νευόντων χαλαραῖς ἀπῃωρημένη ἁλύσεσιν, ἐπιδορατίδα καὶ προ-
καλύμματα ὃν εἴρηται τρόπον ἔχουσα, ἀσφαλείας ἕνεκα τῶν
ἐργαζομένων. Καλωδίοις γὰρ ἐκ τῆς ὄπισθεν κεραίας εἷλκον
βιαίως ἄνδρες αὐτὴν εἰς τὸ ἐναντίον τοῦ δεξομένου τὴν πληγὴν, καὶ
μετὰ ταῦτα ἠφίεσαν ὥστε τῇ τυμμῇ πᾶν τὸ ἔμπιπτον τοῦ τείχους
ἀφανίζεσθαι μέρος. Οἱ δὲ ἀπὸ τῶν τειχῶν ἀμυνόμενοι ἁμαξι-
αίους λίθους πρὸς τοῦτο ἤδη παρεσκευασμένους, ἡνίκα τῷ περι-
βόλῳ προσαχθείη τὰ ὄργανα, ἐνέβαλλον, καί τινα μὲν αὐτοῖς
ἀνδράσι συνέτριψαν· πρὸς δὲ τὸ πλῆθος οὐκ ἀντήρκουν τῶν μη-
χανῶν· καὶ γὰρ δὴ προσῆγον καὶ κλίμακας ὥστε, πῇ μὲν ἐκ
τῶν κριῶν λυθέντος τοῦ τείχους, πῇ δὲ τῶν ἐν ταῖς ἐπάλξεσι
βιαζομένων ὑπὸ τοῦ πλήθους τῶν μηχανῶν, ἁλῶναι τὴν πόλιν,
τῶν βαρβάρων ἐσφρησάντων κατὰ τὸ ῥαγὲν τοῦ περιβόλου μέρος
ἐκ τῆς τοῦ κριοῦ πληγῆς. Τοῦτο δὲ καὶ διὰ τῶν κλιμάκων, αἳ τῷ Ms. fol. 94 r.
μήπω πεσόντι τοῦ τείχους [μέρει] προσήγοντο.

2. δοῦναι] sic codex. Forte legendum ἐνδοῦναι, quod potius congruit cum verbo ὑποχωρῆσαι. ‖ 7. καλοδιοις codex. ‖ 9. τυμμῇ] τυμη codex cum signo √· ponit. Videtur esse forma quædam insolentior vocabuli τύμμα (R. τύπτω) de quo cf. Suid. s. v. ‖ 17. τοῦ περιβόλου] το περιβολου codex. ‖ 19. μέρει] inserui ex conjectura.

ΕΚ ΤΩΝ ΑΡΙΑΝΟΥ.

Τύρου ἅλωσις.

Μετὰ τὴν Δαρείου φυγήν, Ἀλέξανδρος ἐκ Μαραθοῦ ὁρμηθεὶς (ἡ δὴ καὶ ἀντικρὺ τῆς Ἀράδου ὤκισαν νήσου κατὰ τὴν ἤπειρον πόλις μεγάλη τε καὶ εὐδαίμων) Βύβλον τε λαμβάνει ὁμολογίᾳ ἐνδοθεῖσαν αὐτῷ καὶ Σιδῶνα, αὐτῶν Σιδωνίων ἐπικαλεσαμένων κατὰ ἔχθος Δαρείου τε καὶ Περσῶν. Ἐντεῦθεν δὲ τοῦ-

Titulus Ἐκ τῶν ΑΡΙΑΝΟΥ (sic codex) Τύρου ἅλωσις litteris uncialibus exaratus est in codice. Scripturam Ἀλεξανδ retinendam censui, quippe quæ occurrat etiam in aliis Arriani codicibus, atque præsertim in Parisinis 1407, 1603, 1753, 1755, quos omnes ipse inspexi. Etenim triplex hujus nominis scriptura in vetustis exemplaribus occurrit: 1° ἀριανος, ut in prædictis codicibus; 2° ἀρειανος, quæ vulgata est lectio; 3° ἀρειανος, quæ est lectio codd. Parisinorum 1683 et 1417. Codicem Florentinum, quem Gronovius *Optimum* appellavit, non mihi contigit inspicere, sed Parisinus ille quem Dübnerus commendavit (*Præfat. ad Arriani Anabas. et Indica*, Parisiis, Didot, 1846), qui fuit Colbertinus 4617, deinde Regius 3050.3., hodie vero numeratur 1753, præfert scripturam ἀρῖανὸς litteris rubricatis initio totius codicis depictam, atque etiam ἀρῖανῦ initio librorum II, III et IV. Sed de hoc satis. Fragmentum nostrum, quo Tyri expugnatio narratur, excerptum est ex Arriani *De expeditione Alexandri* libro secundo. Congruit in quibusdam cum editis quæ in secundi libri capitibus XV, XVI, XVIII, XIX, XXI, XXII, XXIII, vulgo leguntur, in aliis vero multum ab iisdem discrepat, quippe quum Epitomator plurima reciderit, transtulerit, immutaverit, in brevius coegerit. Collatio codicis facta est cum editione Dübneriana quam supra laudavi, ad collectionem Didotianam pertinente. ‖ 1-5. In editis legitur solummodo: Ἐκ Μαραθῶ δὲ ὁρμηθεὶς Βύβλον τε λαμβάνει ὁμολογίᾳ ἐνδοθεῖσαν καὶ Σιδῶνα αὐτῶν Σιδωνίων ἐπικαλεσαμένων κατὰ ἔχθος τὸ Περσῶν καὶ Δαρείου. Paullo superius in lib. II, cap. VIII, 7. invenies: τὴν Μάραθον τὴν καταντικρὺ τῆς Ἀράδου ἐν τῇ ἠπείρῳ κειμένην πόλιν μεγάλην καὶ εὐδαίμονα. Quæ Epitomator in unum concinnavit. Videtur tamen ex ejus textu inserendum esse editis αὐτῷ post ἐνδοθεῖσαν, et legendum in fine κατὰ ἔχθος Δαρείου τε καὶ Περσῶν pro vulgata lectione τὸ Περσῶν τε καὶ Δαρείου. Forte etiam reponendum in præcedentibus πόλιν μεγάλην τε καὶ εὐδαίμονα. ‖ 1. Δαρείου] Δαειου codex. — Μαραθῶ] μαραθων codex. ‖ 2. κατ' ἀντικρὺ] κατα αντικρυ codex. ‖ 3. Βύβλον] βιβλον codex. ‖ 4. Σιδῶνα] σιδονα codex. — Σιδωνίων] σιδονιων codex.

χώρει ὡς ἐπὶ Τύρον, καὶ ἐντυγχάνουσιν αὐτῷ κατὰ τὴν ὁδὸν πρέσβεις Τυρίων ἀπὸ τοῦ κοινοῦ ἐσταλμένοι, ὡς ἐγνωκότων Τυρίων πράσσειν ὅτι ἂν ἐπαγγέλλοι. Ὁ δὲ, τήν τε πόλιν ἐπαινέσας καὶ τοὺς πρέσβεις, ἐκέλευσεν ἐπανελθόντας φράσαι Τυρίοις ὅτι ἐθέλοι παρελθὼν ἐς τὴν πόλιν θῦσαι τῷ Ἡρακλεῖ. Ἔστι γὰρ ἐν Τύρῳ ἱερὸν Ἡρακλέους παλαιότατον ὧν μνήμη ἀνθρωπίνη διασώζεται. Ὡς δὲ ἀπηγγέλθη ταῦτα πρὸς τῶν πρέσβεων [εἰς] τὴν Τύρον, τὰ μὲν ἄλλα ἐδοξέ σφισι ποιεῖν ὅ τι περ ἐπαγγέλλοι Ἀλέξανδρος, ἐς δὲ τὴν πόλιν μήτε τινὰ Περσῶν μήτε Μακεδόνων ἐσδέχεσθαι. Ὡς δὲ ἐξηγγέλθη Ἀλεξάνδρῳ ταῦτα ἐκ τῆς Τύρου, τοὺς μὲν πρέσβεις πρὸς ὀργὴν ὀπίσω ἀπέπεμπεν, αὐτὸς δὲ ξυναγαγὼν τούς τε ἑταίρους καὶ ἡγεμόνας τῆς στρατείας καὶ ταξιάρχας καὶ λοχαγοὺς οὐ χαλεπῶς ἔπειθε τῇ Τύρῳ ἐπιχειρεῖν· καί τι θεῖον ἀνέπειθεν αὐτὸν ὅτι ἐνύπνιον ἐκείνης ἐδόκει

3. ἐπαγγέλλοι] sic codex. ἐπαγγέλλῃ Ἀλέξανδρος habent edita. || 4. Post πρέσβεις additur in editis : (καὶ γὰρ ἦσαν τῶν ἐπιφανῶν ἐν Τύρῳ οἵ τε ἄλλοι καὶ ὁ τοῦ βασιλέως τῶν Τυρίων παῖς· αὐτὸς δὲ ὁ βασιλεὺς Ἀζέμιλκος μετ' Αὐτοφραδάτου ἔπλει. || 7. Post διασώζεται legitur in editis descriptio templi Herculis Tyrii, quæ hisce verbis explicit : Τούτῳ τῷ Ἡρακλεῖ τῷ Τυρίῳ ἔφη ἐθέλειν θῦσαι Ἀλέξανδρος. || 8. εἰς τὴν Τύρον] inserui εἰς ex editis. || 9. ἐπαγγέλλοι] sic codex. ἐπαγγέλλει edd. || 10. ἐσδέχεσθαι] sic codex. δέχεσθαι edd. Deinde legitur in editis : ὡς τοῦτο ἔς τε τὰ παρόντα τῷ λόγῳ εὐπρεπέστατον καὶ ἐς τοῦ πολέμου τὴν κρίσιν ἄδηλον ἔτι οὖσαν ἀσφαλέστατόν σφισι γενησόμενον. || 11. ταῦτα] sic codex. τὰ edd. || 12. ἀπέπεμπεν] sic codex. ἀπέπεμψεν edd. — ξυναγαγὼν] sic codex. συναγαγὼν edd. — ἑταίρους] emendavi ex edd. ἑτέρους ponit codex. — καὶ ἡγεμόνας] sic codex. καὶ τοὺς ἡγεμόνας edd. || 13. στρατείας] sic codex. στρατιᾶς edd. — λοχαγοὺς] sic codex. ἱλάρχας edd. Deinde legitur in editis : ἔλεξεν ὧδε. Sequitur oratio Alexandri quæ capite XVII continetur. Incipit deinde caput XVIII hisce verbis : Ταῦτα λέγων οὐ χαλεπῶς ἔπειθεν ἐπιχειρεῖν τῇ Τύρῳ. || 14. καί τι θεῖον] καί τι καὶ θεῖον codex. ἀλλὰ καί τι θεῖον edd. || 14-p. 309, l. 1. ἐνύπνιον ἐκείνης ἐδόκει τῆς νυκτὸς] ἐνύπνιον αὐτῆς ἐκείνης τῆς νυκτὸς ἐδόκει ponunt edita, ubi hæc pleniora.

τῆς νυκτὸς αὐτὸς μὲν τῷ τείχει προσάγειν τῶν Τυρίων, τὼν δὲ Ἡρακλέα δεξιοῦσθαί τε αὐτὸν καὶ ἀνάγειν ἐς τὴν πόλιν.

[Ἔστι] δὲ πορθμὸς τεναγώδης τὸ χωρίον· καὶ τὰ μὲν πρὸς τῇ ἠπείρῳ τὴν θαλάσσης βραχέα καὶ τεναγώδη αὐτοῦ, τὰ δὲ πρὸς αὐτῇ τῇ πόλει, ἵνα τὸ βαθύτατον τοῦ διάπλου, τριῶν ἐς μάλιστα ὀργυιῶν τὸ βάθος. Ἀλλὰ λίθων τε πολλὴ ἀφθονία ἦν καὶ ὕλης, ἥντινα τοῖς λίθοις ἄνωθεν ἐπεφόρουν· χάρακές τε οὐ χαλεπῶς κατεπήγνυντο ἐν τῷ πηλῷ, καὶ αὐτὸς ὁ πηλὸς σύνδεσμος τοῖς λίθοις ἐς τὸ ἐπιμένειν ἐγίγνετο.

Ms fol. 95 r°.

Ἀλλὰ, ἔστε μὲν τὰ πρὸς τῇ ἠπείρῳ ἐχώννυτο, οὐ χαλεπῶς προὐχώρει τὸ ἔργον. Ὡς δὲ τῷ τε βαθυτέρῳ ἤδη ἐπέλαζον καὶ ἅμα τῇ πόλει αὐτῇ ἐγγὺς ἐγίγνοντο, ἀπό τε τῶν τειχῶν ὑψηλῶν ὄντων βαλλόμενοι ἐκακοπάθουν, ἅτε καὶ ἐπ' ἐργασίᾳ τι μᾶλλον ἢ ὡς ἐς μάχην ἀκριβῶς ἐσταλμένοι· καὶ ταῖς τριήρεσιν ἄλλῃ καὶ ἄλλῃ τοῦ χώματος ἐπιπλέοντες οἱ Τύριοι, ἅτε θαλασσοκρατοῦντες ἔτι, ἄπορον πολλαχοῦ τὴν προσχώρησιν τοῖς Μακεδόσιν ἐποίουν.

1. Post verba ἐς τὴν πόλιν, omisit Epitomator aliquot versus, et statim transiit, sine ulla lacunæ vel puncti notatione, ad ea quæ incipiunt δὲ πορμος (sic codex pro Ἔστι δὲ πορθμός). ‖ 3. Ἔστι δὲ πορθμὸς τεναγώδης] δὲ πορμος τεγανωδης ponit codex. ‖ 4. τεναγώδη] sic codex. πηλώδη edd. ‖ 5. ἐς] om. edd. ‖ 6. ὀργυιῶν] ὀργυων codex. — πολλὴ] sic codex. πολλῶν habent edita. Lectio codicis melior. ‖ 8. κατεπήγνυντο ἐν τῷ πηλῷ] sic codex. ἐν τῷ πηλῷ κατεπήγνυντο, mutato ordine verborum, habent edita. — σύνδεσμος] sic codex. ξύνδεσμος edd. ‖ 9. ἐς τὸ] εστω codex. — Post ἐγίγνετο, omissa aliquot. Deinde rursus incipit Epitomator ἀλλὰ εσται (quod legendum ἔστε). ‖ 10. Ἀλλὰ ἔστε] ἀλλὰ εσται codex. ἀλλ' ἔστε edd. — τὰ πρὸς τῇ ἠπείρῳ] sic codex. τὸ πρὸς τῇ ἠπείρῳ edd. Lectio codicis melior atque elegantior. ‖ 11. Post verba τὸ ἔργον addunt edita χωννύμενον καὶ οὐδενὸς ἐξείργοντος. — τῷ τε] sic codex. τῷ omittunt edita. ‖ 13. τι μᾶλλον] sic codex. μᾶλλόν τι edd. ‖ 15. Post ἅτε inserunt δὴ edd. ‖ 16. πολλαχοῦ] sic codex. πολλαχῆ edd. — προσχώρησιν] sic codex. πρόσχωσιν habent edita. Sed lectio codicis potior videtur.

Καὶ οἱ Μακεδόνες πύργους ἐπ' ἄκρου τοῦ χώματος, ὅ τι περ προὐκεχωρήκει αὐτοῖς, ἐπὶ πολὺ τῆς θαλάσσης ἐπέστησαν καὶ μηχανὰς ἐπὶ τοῖς πύργοις· προκάλυμμα δὲ δέρρεις καὶ διφθέραι αὐταῖς ἦσαν, ὡς μήτε πυρφόροις βέλεσιν ἀπὸ τοῦ τείχους βάλλεσθαι τοῖς τε ἐργαζομένοις προβολὴν ἐν ταὐτῷ εἶναι πρὸς τὰ τοξεύματα· ἅμα τε ὅσοι προσπλέοντες τῶν Τυρίων ἔβλαπτον τοὺς χωννύντας, οὐ χαλεπῶς ἀνασταλήσεσθαι ἔμελλον.

Οἱ δὲ Τύριοι πρὸς ταῦτα ἀντιμηχανῶνται τοιόνδε. Ναῦν ἱππαγωγὸν κληματίδων τε ξηρῶν καὶ ἄλλης ὕλης εὐφλέκτου ἐμπλήσαντες, δύο ἱστοὺς ἐπὶ τῇ πρώρᾳ καταπηγνύουσιν ἐς ὅσον μακρότατον, ὡς φορυτόν τε ταύτῃ καὶ δᾷδας ὅσας πλείστας δέξασθαι· πρὸς δὲ πίσσαν τε καὶ θεῖον καὶ ὅσα ἄλλα ἐς τὸ παρακαλέσαι μεγάλην φλόγα ἐπὶ ταῦτα ἐπεφόρησαν. Παρέτειναν δὲ καὶ κεραίαν διπλῆν ἐπὶ τοῖς ἱστοῖς ἀμφοτέροις καὶ ἀπὸ ταύτης ἐξήρτησαν ἐν λέβησιν ὅσα ἐπιχυθέντα ἢ ἐπιβληθέντα ἐπὶ μέγα τὴν φλόγα ἐξάψειν ἔμελλεν· ἕρματά τ' ἐς τὴν πρύμναν ἔθεσαν, τοῦ ἐξᾶραι εἰς ὕψος τὴν πρώραν, πιεζομένης κατὰ πρύμναν τῆς

1. ἐπ' ἄκρου] sic codex. ἐπάνω edd. ‖ 2. προὐκεχωρήκει] emendavi. προυχωρηκει codex. προκεχωρήκει edita. — ἐπὶ πολύ] ἐπιπολύ codex. ‖ 3. προκάλυμμα] sic codex. προκαλύμματα edd. ‖ 5. ταυτῶ codex. τῷ αὐτῷ edita. ‖ 7. Post χωννύντας addunt edita ἀπὸ τῶν πύργων βαλλόμενοι. — ἔμελλον] μελλον codex. ‖ 9. κληματίδων] sic codex. κλημάτων edd. ‖ 10. Post καταπηγνύουσι. inserunt edita καὶ ἐν κύκλῳ περιφράσσουσιν. ‖ 13. ἐπὶ ταῦτα] sic codex. ἐπὶ ταύτῃ edd. — ἐπεφόρησαν] ἐπιφορησαν ponit codex. ‖ 14. διπλῆν] διπλὴν codex. — ἀμφοτέροις] ἀμφότεροις codex. ‖ 16. ἕρματά τ' ἐς] sic codex. ἕρματά τε ἐς edd. — ἔθεσαν] sic codex. ἀνέθεσαν edd. ‖ 17. πρώραν] πρωραν nullo accentu ponit noster codex. Ex *Etymologico magno* foret scribendum πρῷραν, nam in vetustis quibusdam codicibus scribitur προιρα. ‖ 17. p. 311, l. 1. τῆς νεώς. Ἔπειτα ἄνεμον] emendavi ex edd. της επι τα αμμον ponit codex, negligentia quadam Epitomatoris vel inscitia librarii. Forte etiam litteræ aliquot, ut fit, in archetypo evanuerant.

[νεώς]. Ἔπειτα ἄνεμον πνήσαντες ὡς ἐπὶ τὸ χῶμα ἐπιφέροντα, ἐξάψαντες τειρεσι τὴν ναῦν καθ' ὁρμὴν εἶλκον. Ὡς δὲ ἐπέλαζον ἤδη τῷ χώματι καὶ τοῖς πύργοις, πῦρ ἐμβαλόντες ἐς τὴν ὕλην καὶ ὡς βιαιότατα ἅμα ταῖς τειρεσιν ἐφελκύσαντες τὴν ναῦν, ἐνστείνουσιν ἄκρῳ τῷ χώματι· αὐτοὶ δὲ οἱ ἐν τῇ νηΐ, καιομένης ἤδη ἐξενήξαντο ὑ χαλεπῶς. Καὶ ἐν τούτῳ ἡ φλὸξ πολλὴ ἐνέπιπτε τοῖς πύργοις, καὶ αἱ κεραῖαι περικλασθεῖσαι ἐξέχεον ἐς τὸ πῦρ ὅσα ἐς ἕλξιν τῆς φλογὸς παρεσκεύασο. Οἱ δὲ ἀπὸ τῶν τειρέων πλησίον τοῦ χώματος ἀνακωχεύοντες ἐπόξευον ἐς τοὺς πύργους, ὡς μὴ ἀσφαλὲς εἶναι πελάσαι ὅσοι σβεσήριόν τι τῇ φλογὶ ἐπέφερον.

Καὶ ἐν τούτῳ ἐκδραμόντες πολλοὶ ἐκ τῆς πόλεως καὶ ἐς κελήτα ἐσβάντες, ἄλλη καὶ ἄλλη ἐποκείλαντες τοῦ χώματος, τόν τε χάρακα οὐ χαλεπῶς διασπάσαντες τὸν περὶ αὐτοῦ περισβεβλημένον, καὶ τὰς μηχανὰς ξυμπάσας κατέφλεξαν.

Ἀλέξανδρος δὲ τό τε χῶμα ἀπὸ τῆς ἠπείρου ἀρξάμενος ἔγω

1. ἐπιφέροντα] ἐπιφέροντες codex. ‖ 2. κατ' ὁρμὴν] emendavi. κατα πυργον ponit codex. κατ' ὀρμὴν habent edita. ‖ 3. τῷ χώματι] sic codex. τῷ τε χώμ. edd. — ἐμβαλόντες] scripsi ex edd. ἐμβαλλοντες ponit codex. ‖ 4. ἐφελκύσαντες] sic codex. ἐπιστελκύσαντες edd. ‖ 4-5. ἐνστείνουσιν] ενσεισιν codex, videlicet ex iotacismo. ‖ 5. καιομένης] sic codex. καιομένη edd. ‖ 6. ἐξενήξαντο] ἐξενίξαντο codex. — ἡ φλὸξ] sic codex. ἤ τε φλὸξ edd. ‖ 7. κεραῖαι] κερσιαι codex. — ἐξέχεον] sic codex. ἐξέχεαν edd. ‖ 7-8. ὅσα ἐς] ὅσας codex. ‖ 8. παρεσκεύασο] sic codex. παρεσκευασμένα ἦν ponunt edita. — οἱ δὲ ἀπὸ] sic codex. οἱ δ' ἀπὸ edd. ‖ 12. Post verba Καὶ ἐν τούτῳ legitur in editis : καπεχομένων ἤδη ἐκ τοῦ πυρὸς τῶν πύργων ἐκδραμόντες ἐκ τῆς πόλεως πολλοὶ καὶ ἐς κελήτα ἐσβάντες κ. τ. λ. ‖ 12-13. κελήτα] κελητας codex. ‖ 13. ἐσβάντες] sic codex. ἐμβάντες ponunt edita. ‖ 14. διασπάσαντες] sic codex. διέσπασαν edd. — τὸν] omittit codex. Habent edita. ‖ 14-15. περισβεβλημένον] sic codex. περιβεβλημένον ponunt edita. ‖ 15. Post κατέφλεξαν, inserunt edita ὅσας μὴ τὸ ἀπὸ τῆς νεὼς πῦρ ἐπίσχεν. Haec verba recidit Epitomator.

χωννύναι πλατύτερον ὡς πλείονας δέξασθαι πύργους καὶ τοὺς μηχανοποιοὺς μηχανὰς ἄλλας κατασκευάζειν ἐκέλευσεν.

Αὐτὸς δὲ τόλον ὅπ πλεῖσον ἀθροίζειν διενοεῖτο· ἤδη γὰρ αὐτῷ, θαλασσοκρατούντων Τυρίων, ἀποφερτέα τὰ τῆς πολιορκίας ἐφαίνετο.

Ὡς δὲ παρεσκεύασο ἤδη ξύμπαντα, προσῆγε τὰς μηχανὰς κατά τε τὸ ποιητὸν χῶμα καὶ ἀπὸ τῶν νηῶν ἄλλη καὶ ἄλλη τῶ τείχους προσορμιζομένων τε καὶ ἀποπειρωμένων τῶ τείχους.

Οἱ δὲ Τύριοι ἔπ τε τῶν ἐπάλξεων τῶν κατὰ τὸ χῶμα πύργους ξυλίνους ἐπέστησαν ὡς ἀπομαχεσθαι ἀπ' αὐτῶν, καὶ εἴ πῆ ἄλλη μηχαναὶ προσήγοντο, βέλεσί τε ἠμύνοντο καὶ πυρφόροις οἷσῖς ἔβαλλον αὐτὰς τὰς ναῦς.

Ἦν δὲ αὐτοῖς καὶ τὸ τείχη κατὰ τὸ χῶμα, τό τε ὕψος ἐς $\overline{N}$ καὶ $\overline{P}$ μάλιστα πόδας, καὶ ἐς πλάτος ξύμμετρον, λίθοις μεγάλοις ἐν γύψῳ κειμένοις ξυμπεπηγότα. Ταῖς δὲ ἱππαγωγοῖς καὶ ταῖς τριήρεσι τῶν Μακεδόνων ὅσαι τὰς μηχανὰς προσῆγον τῷ τείχει, ταύτη ἄπορον ἐγίνετο πελάζειν τῷ τείχει, ὅπ λίθοι πολλοὶ ἐς τὸ πέλαγος προβεβλημένοι ἐξεῖργον αὐτῶν τὴν ἐπῖους προσβολήν.

1. Verba αὐτὸς δὲ τόλον et sequentia usque ad ἐφαίνετο sunt inedita. Horum in loco legitur in editis: Ὡς δὲ ταῦτα παρεσκευάζετο, αὐτὸς πρός τι ὑπασπισὰς ἀναλαβὼν καὶ πρὸς Ἀχιαίους ὅπ Σιδώνος ἐστάλη, ὡς ἀθροίσων ἐκεῖ ὅσαι ἤδη ἦσαι αὐτῷ τριήρεις, ὅπ ἀποώτερα τὰ τῆς πολιορκίας ἐφαίνετο, θαλασσοκρατούντων τῶν Τυρίων. 6. προσῆγε] sic codex. προσῆγον edd. 7. νηῶν] conjeci. νησων codex. dum νεῶν ponunt edd. ‖ 11. μηχαναὶ] αἱ μηχαναὶ edd. ‖ 12. Post ναῦς addunt edita ὥστε φόβον παρέχειν τοῖς Μακεδόσι πελάζειν τῷ τείχει. ‖ 13-14. ἐς $\overline{N}$ καὶ $\overline{P}$] sic codex. εἰς πεντήκοντα καὶ ἑκατὸν edd. ‖ 15. κειμένοις] κειμέναις codex. — ξυμπεπηγότα] ξυμπεπηγοτες codex. qui deinde omittit ταῖς, ex confusione syllabarum ΑΙ = Ε, quarum sonus apud Græcos idem est. — καὶ] sic codex. τε καὶ edd. ‖ 17. ταυτ ἄπορον ἐγινετο πελαζειν τω τειχει ponit codex. καὶ ταύτη ἦν εὔπορον ἐγίνετο πελα-

Καὶ τούτους Ἀλέξανδρος ἔγνω ἐξελκύσαι ἐκ τῆς θαλάσσης· ἤνυστο δὲ χαλεπῶς καὶ τοῦτο τὸ ἔργον, οἷα δὴ ἐκ νηῶν καὶ οὐκ ἀπὸ γῆς βεβαίου γινόμενον· ἄλλως τε καὶ οἱ Τύριοι ναῦς καταφράξαντες παρὰ τὰς ἀγκύρας ἐπῆγον τῶν τριήρων, καὶ ὑποτέμνοντες τὰς σχοίνους τῶν ἀγκυρῶν ἄπορον προσόρμισιν ταῖς πολεμίαις ἐποίουν ναυσίν.

Οἱ δὲ ἀλύσεσιν ἀντὶ σχοίνων ἐς τὰς ἀγκύρας ἐχρῶντο, ὡς μηδὲν πλέον ἔτι τοῖς κολυμβηταῖς γίνεσθαι.

Ἐξάπτοντες οὖν βρόχους τῶν λίθων ἀπὸ τοῦ χώματος ἀνέσπων αὐτοὺς ἔξω τῆς θαλάσσης· ἔπειτα μηχαναῖς μετεωρήσαντες, ἐρίπτουν εἰς τὸ βαθύτατον, ἵνα οὐκέτι προβεβλημένοι βλάψειν ἔμελλον.

Οἱ δὲ Τύριοι, πάντη ἄποροι γινόμενοι, ἔγνωσαν ἐπίπλουν ποιήσασθαι ταῖς τῶν Μακεδόνων ναυσὶν, αἳ κατὰ τὸν λιμένα ἐφώρ-

ζειν τῇ πόλει habent edita. ‖ 2. ἤνυστο] sic codex. ἠνύετο edd. — οἷα δὴ] οια η codex. — ἐκ νηῶν] sic codex. ἀπὸ νεῶν edd. 3. γινόμενον] sic codex. γιγνόμενον edd. 5. ἀγκυρῶν] scripsi ex edd. τριηρων ponit codex. — προσόρμισιν] προσόρμησιν codex. τὴν προσόρμισιν edd. ‖ 6. ἐποίουν ναυσίν] sic codex. ναυσὶν ἐποίουν edd. Post hæc, prætermisit aliquot versus Epitomator, quos in sequentem modum edita tradunt : Ἀλέξανδρος δὲ τριακοντόρους πολλὰς ἐς τὸν αὐτὸν τρόπον φράξας ἐπέστησεν ἐγκαρσίας πρὸ τῶν ἀγκυρῶν, ὡς ὑπ' αὐτῶν ἀναστέλλεσθαι τὸν ἐπίπλουν τῶν νεῶν. Ἀλλὰ καὶ ὡς ὕφαλοι κολυμβηταὶ τὰς σχοίνους αὐτοῖς ὑπέτεμον. ‖ 7. Οἱ δὲ ἀλύσεσιν ἀντὶ σχοίνων κ. τ. λ. Legitur in editis : Οἱ δὲ ἀλύσεσιν εἰς τὰς ἀγκύρας ἀντὶ σχοίνων χρώμενοι οἱ Μακεδόνες καθίεσαν ὥστε μηδὲν ἔτι πλέον τοῖς κολυμβηταῖς γίγνεσθαι. Quæ constructio confusa videtur. ‖ 10. μετεωρήσαντες] sic codex. μετεωρίσαντες edd. ‖ 11. ἐρίπτουν εἰς τὸ βαθύτατον] sic codex, ubi forte legendum foret ἐρρίπτουν cum ρ̄ duplicato. Habent edita κατὰ βάθους ἀφίεσαν. ‖ 12. Post ἔμελλον leguntur in editis hæc : Ὅπου δὲ καθαρὸν πεποίητο τῶν προβόλων τὸ τεῖχος, οὐ χαλεπῶς ἤδη ταύτῃ αἱ νῆες προσεῖχον. ‖ 13. γινόμενοι] sic codex. γιγνόμενοι edd. — ἔγνωσαν] γνωσαν codex. ‖ 14. ταῖς τῶν Μακεδόνων ναυσὶν] sic codex. ταῖς Κυπρίαις ναυσὶν edd. ‖ 14-p. 314, l. 1. ἐφώρμουν εφορμουν codex.

μουν τὸν ἐς Σιδῶνα τετραμμένον. Καταπετάσαντες οὖν τὸ στόμα τοῦ λιμένος ἱστίοις τοῦ μὴ καταφανῆ γενέσθαι τῶν τριήρων τὴν πλήρωσιν, πληρώσαντες πεντήρεις μὲν τρεῖς καὶ τετρήρεις ἴσας, τριήρεις δὲ ἑπτὰ ὡς ἀκριβεστάτοις καὶ τοῖς πληρώμασι καὶ τοῖς ἀπὸ τῶν καταστρωμάτων μάχεσθαι μέλλουσι, τὰ μὲν πρῶτα ἀτρεμαίᾳ τῇ εἰρεσίᾳ ἐπὶ μιᾶς νεὼς ἐξέπλεον. Ὡς δὲ ἐπέστρεφον ἤδη ἐπὶ τοὺς Κυπρίους, ξὺμ βοῇ τε πολλῇ καὶ ἐνκελευσμῷ ἐς ἀλλήλους καὶ ἅμα τῇ εἰρεσίᾳ ξυντόνως ἐπεφέροντο.

Καὶ προσπεσόντες ἀπροσδοκήτως ταῖς ναυσὶν [ὁρμούσαις] καὶ ταῖς μὲν πάντη κεναῖς ἐπιτυχόντες, τῶν δὲ ὑπ' αὐτὴν τὴν βοὴν καὶ τὸν ἐπίπλουν χαλεπῶς πληρουμένων, τὰς μὲν ὑπὸ τῇ πρώτῃ κατέδυσαν προσβολῇ, τὰς δὲ ἐς τὸν αἰγιαλὸν ἐξωθοῦντες ἔκοπτον.

Ἀλέξανδρος δὲ, ὡς ᾔσθετο τὸν ἔκπλουν τῶν Τυρίων νεῶν,

1. ἐς Σιδῶνα] εν σιδωνα codex. — καταπετάσαντες] correxi. καταπεσαντες codex. Cetera ex codice dedi. Nam in editis aliter se habent: ἐκ πολλοῦ δὴ καταπετάσαντες τοῦ λιμένος τὸ στόμα ἱστίοις ‖ 3. Post πλήρωσιν legitur in editis: ἀμφὶ μέσον ἡμέρας ὁπότε οἵ τε ναῦται ἐπὶ τὰ ἀναγκαῖα ἐσκεδασμένοι ἦσαν καὶ Ἀλέξανδρος ἐν τούτῳ μάλιστα ἀπὸ τοῦ ἐπὶ θάτερα τῆς πόλεως ναυτικοῦ ἐπὶ τὴν σκηνὴν ἀπεχώρει. πληρώσαντες κ. τ. λ. — Post ἴσας est signum V̇ in codice. ‖ 4. ἀκριβεστάτοις καὶ τοῖς πληρώμασι] ἀκριβεστατον· καὶ τον πληρωμασιν ponit codex. Habent autem edita: ἀκριβεστάτοις τε τοῖς πληρώμασι. ‖ 5. Post μάχεσθαι μέλλουσιν addunt edita: εὐοπλοτάτοις καὶ ἅμα εὐθαρσεστάτοις ἐς τοὺς ναυτικοὺς ἀγῶνας. ‖ 5-6. ἀτρεμαίᾳ] scripsi ex codice ατρέμα ponunt edita. ‖ 6. ἐπὶ] ἀπὸ codex. ‖ 6. Post ἐξέπλεον addunt edita: ἄνευ κελευστῶν τὰς κώπας παραφέροντες. ‖ 7. ξὺμ βοῇ] ξυμβολή codex. sed littera λ̄ prima manu deleta est, unde ξὺμ βοῇ, id est σὺν βοῇ, legendum. — ἐνκελευσμῷ] sic codex more epigraphico, neque immutare volui. ἐγκελευσμῷ edd. ‖ 8. εἰρεσίᾳ] εἰρησια codex. — ξυντόνως] sic codex. ξυντόνῳ edd. ‖ 9. Καὶ προσπεσόντες] sic codex. Οἱ δὲ Τύριοι προσπεσόντες edd. — ὁρμούσαις] deest in codice. Habent edita. ‖ 10. δὲ ὑπ] sic codex. δ' ὑπ' edd. ‖ 11. Post χαλεπῶς addunt edita ἐκ τῶν παρόντων. ‖ 11-12. τὰς μὲν ὑπὸ τῇ πρώτῃ κ. τ. λ.] Hæc contraxit Epitomator. Habent edita: τήν τε Πνυταγόρου τοῦ βασιλέως πεντήρη εὐθὺς ὑπὸ τῇ πρώτῃ ἐμβολῇ κατέδυσαν καὶ τὴν Ἀνδροκλέους τοῦ Ἀμαθουσίου καὶ τὴν Πασικράτους τοῦ Θουριέως τὰς δὲ ἄλλας ἐς τὸν αἰγιαλὸν ἐξωθοῦντες ἔκοπτον. ‖ 13. Ἀλέξαν-

τὰς σὺν αὐτῷ λαβὼν ἐπὶ τοὺς ἐκπεπλευκότας τῶν Τυρίων ἀπήγετο.

Αἰσθόμενοι δὲ οἱ Τύριοι τὸν Ἀλεξάνδρου ἐπίπλουν, ὑποστρέψαντες εἰς τὸν λιμένα, ἔφευγον, καὶ τὰς πλείονας αὐτῶν [αἱ] ξὺν Ἀλεξάνδρῳ νῆες κατέδυσαν.

Ὡς δὲ οὐδεμία ἐπὶ τοῖς Τυρίοις ἐκ τῶν νηῶν ὠφέλεια ἦν, ἐπῆγον ἤδη οἱ Μακεδόνες τὰς μηχανὰς τῷ τείχει αὐτῶν. Κατὰ μὲν δὴ τὸ χῶμα προσαγόμεναι διὰ ἰσχὺν τοῦ τείχους οὐδὲν ἤνυον· οἱ δὲ κατὰ [τὸ] πρὸς Σιδῶνα τετραμμένον τῆς πόλεως προσῆγον τὰς μηχανάς.

Ὡς δὲ οὐδὲ ταύτῃ ἤνυον, ἐς τὸν πρὸς νότον ἄνεμον καὶ πρὸς Αἴγυπτον ἀνέχον τεῖχος μετήεσαν, πάντη ἀποπειρώμενοι τοῦ ἔργου. Καὶ ταύτῃ πρῶτον καθεσείσθη τε ἐπὶ μέγα τὸ τεῖχος, καί τι καὶ κατερείφθη αὐτοῦ.

Ἀλέξανδρος δὲ τῶν τειρέων τὰς μὲν ἐπιπλεῖν κατὰ τοὺς λιμένας ἀμφοτέρους ἐκέλευσεν, εἴ πως πρὸς σφᾶς τετραμμένων

δρος δέ] haec et sequentia in breve coegit Epitomator. Confer in editis lib. II, cap. XXII, 3, 4 et 5. ‖ 1. Τυρίων] πρῶν codex. ‖ 4. αἱ] omittit codex. Inserui ex conjectura. ‖ 8. δή] δίει codex. — Post ἤνυον addunt edita ὅ τι καὶ λόγου ἄξιον. ‖ 9. τὸ] om. codex. Habent edita. Post πόλεως supplendum μέρος. ‖ 10. μηχανάς] diversa sunt in editis : τῶν νεῶν ἅσας τῶν μηχανοφόρων προσῆγον. ‖ 11. ταύτῃ] ταυτην codex. — ἤνυον] sic codex. ἤνυεν edd. — ἐς τὸν πρὸς νότον ἄνεμον] sic codex. ἐς τὸ πρὸς νότον αὖ ἄνεμον edd. ‖ 12. μετήεσαν] sic codex. μετήει edd. — ἀποπειρώμενοι] sic codex. ἀποπειρώμενος edd. ‖ 13. ταύτῃ] sic codex. ὅπαυθα edd. ‖ 14. κατερείφθη] sic codex pro κατερρίφθη. Lectio κατηρείφθη, quam habent edita, est prorsus diversa. Etenim κατερείφθη refertur ad verbum καταείπω, κατηρείφθη vero ad verbum καταρείπω. — Post αὐτοῦ addunt edita παραφραγέν. Transit inde Epitomator ad lib. II, cap. XXIII, 3. ‖ 15. Ἀλέξανδρος δὲ τῶν τειρέων τὰς μὲν] τὰς τειρεις δὲ τὰς μὲν edd. ‖ 16. ἐκέλευσεν εἴ πως κ. τ. λ.] haec sunt valde confusa in codice, quippe quum librarius bis eadem scripserit. Etenim ponit codex : εκε-

τῶν Τυρίων βιάσαιντο τὸν ἔσπλουν· ὅσαι δὲ αὐτῶν βέλη ἀπὸ μηχανῶν βαλλόμενα εἶχον, ἢ ὅσαι τοξότας ἐπὶ τῶν καταστρωμάτων ἔφερον, ταύτας δὲ ἐκέλευσεν ἐν κύκλῳ παραπλεούσας βάλλειν ἐς τοὺς ἐπὶ τῶν ἐπάλξεων ἱσταμένους.

Ὡς δὲ αἵ τε νῆες αἱ ξὺν Ἀλεξάνδρῳ προσέσχον τῇ πόλει καὶ αἱ γέφυραι ἐπεβλήθησαν τῷ τείχει, οἱ μὲν Μακεδόνες εὐρώστως ἀνήεσαν· τὸ δὲ πλῆθος τῶν Τυρίων τὸ τεῖχος ὡς εἶδον ἐχόμενον, ἐπὶ τὸ Ἀγηνόρειον ἔφευγον οὕτω καλούμενον τῆς πόλεως μέρος. 5 M. fol. 97 r

Ἔνθα δὴ ἀθροισθέντες ἐπὶ τοὺς Μακεδόνας ἐπέστρεψαν, καὶ ὁ Ἀλέξανδρος σὺν τοῖς ὑπασπισταῖς ἐπὶ τούτους χωρήσας πάντας αὐτῷ τοὺς μαχομένους διέφθειρεν. 10

Καὶ τοῦτο τῇ πολιορκίᾳ τέλος ἐγένετο.

λευσεν ειπὼν προς σφετέρους εκελευσεν ειπὼν προς σφας τετραμμενων τῶν τυρίων τῶν τυριων βιασαιντο το εσπλουν. Emendavi ex editis. || 3. παραπλεούσας κ. τ. λ.] hæc sunt prorsus diversa ab editis, quæ habent : περιπλεούσας τὸ τεῖχος ἐποκέλλειν τε ὅπη παρείκοι καὶ ἀνακωχευειν ἐντὸς βέλους, ἔστε τὸ ἐποκεῖλαι ἄπορον γίγνοιτο, ὡς πανταχόθεν βαλλομένους τοὺς Τυρίους ἐν τῷ δεινῷ ἀμφιβόλους γίγνεσθαι. || 5. αἵ τε νῆες αἱ] ἀτενίσαι ponit codex. Emendavi ex edd. — ξὺν] sic codex. σὺν edd. || 6. οἱ μὲν Μακεδόνες εὐρώστως ανήεσαν] diversa sunt in editis : ἐνταῦθα οἱ ὑπασπισταὶ εὐρώστως κατὰ ταύτας ἀνέβαινον ἐπὶ τὸ τεῖχος. Quæ sequuntur desunt in codice usque ad lib. II, cap. XXIV, 2. || 7. τὸ τεῖχος] habent edita : τὸ μὲν τεῖχος, ὡς ἐχόμενον εἶδον, ἐκλείπουσιν. ἀθροισθέντες δὲ κατὰ τὸ Ἀγηνόριον καλούμενον ἐπέστρεψαν ταύτῃ ἐπὶ τοὺς Μακεδόνας. Καὶ Ἀλέξανδρος ξὺν τοῖς ὑπασπισταῖς ἐπὶ τούτους χωρήσας τοὺς μὲν αὐτοῦ μαχομένους διέφθειρεν, τοῖς δὲ φεύγουσιν ἐφείπετο... κ. τ. λ. || 12. Καὶ τοῦτο τῇ πολιορκίᾳ τέλος ἐγένετο] hæc verba, quibus explicit excerptum Epitomatoris, desunt in editis, ubi expugnatio urbis fusius describitur.

ΕΚ ΤΩΝ ΑΡΙΑΝΟΥ.

Γαζέων πολιορκία.

Ἐπεὶ δὲ ταῖς ξυμβάσεις Δαρεῖος ἀπέγνω, Ἀλέξανδρος ἐπ' Αἰγύπτῳ ἔγνω ποιεῖσθαι τὸν στόλον. Καὶ ἦν αὐτῷ τὰ μὲν ἄλλα τῆς Παλαιστίνης καλουμένης Συρίας ὑποχεχωρηκότα ἤδη. Εὐνοῦχος δέ τις, ᾧ ὄνομα Βάτις, κρατῶν τῆς Γαζέων πόλεως, ὑπεστείχει Ἀλεξάνδρῳ, ἀλλὰ Ἄραβάς τε μισθωτοὺς ἐπαγόμενος καὶ σῖτον ἐκ πολλοῦ παρεσκευακὼς διαρκῆ ἐς χρόνιον πολιορκίαν, καὶ τῷ χωρίῳ πιστεύων μή ποτε ἂν βίᾳ ἁλῶναι, ἔγνω μὴ δέχεσθαι τῇ πόλει Ἀλέξανδρον.

Ἀπέχει δὲ ἡ Γάζα τῆς μὲν θαλάττης ἐς εἴκοσι μάλιστα σταδίους, καὶ ἔστι ψαμμώδης καὶ βαθεῖα εἰς αὐτὴν ἡ ὁδός, καὶ ἡ θάλασσα ἡ κατὰ τὴν πόλιν πεναγώδης πᾶσα. Μεγάλη δὲ πόλις ἡ Γάζα ἦν καὶ ἐπὶ χώματος ὑψηλοῦ ὤκισο, καὶ τεῖχος περιεβέβλητο

Titulum Ἐκ τῶν Ἀρριανοῦ Γαζέων πολιορκία litteris uncialibus exaratum habet codex. Scriptura Γαζέων hic et alibi in codice occurrit, dum edita ubique Γαζαίων habent. Unde conjici potest duplicem fuisse hujus ethnici formam, scilicet Γαζαῖος et Γαζαίος. Itaque scripturam Γαζέων non omittendam censui. Nomen urbis ipsius est ἡ Γαζα, τῆς Γάζης, secundum Hieroclis Synecdemum et Notitias Episcopatuum graecas (de quibus vide editionem Gustavi Parthey, Berolini, 1866, p. 44, 143 et 281). Fragmentum hoc Arriani, quo Gazæ obsidio describitur, comparandum est cum ejusdem *Anabas.* lib. II, cap. XXV, XXVI et XXVII.

1. Δαρεῖος] correxi. Δαριυ codex. Habent edita: Ταῦτα ὡς ἤκουσε Δαρεῖος, ταῖς μὲν ξυμβάσεις ἀπέγνω ταῖς παρὰ Ἀλέξανδρου. ἐν παρασκευῇ δὲ τῷ πολέμῳ αὖθις ἦν. Ἀλέξανδρος δὲ ἐπ' Αἰγύπτῳ ἔγνω ποιεῖσθαι τὸν στόλον. ‖ 4. ᾧ ὄνομα Βάτις] sic codex. ᾧ ὄνομα ἦν Βάτις edd. — Γαζέων] sic codex. Γαζαίων edd. ‖ 7. ἔγνω] γνω codex cum signo √· ponit. ‖ 9. θαλάττης] sic codex. θαλάσσης edd. — ἐς] om. edd. ‖ 10. εἰς αὐτὴν ἡ ὁδός] sic codex. ἐς αὐτὴν ἡ ἄνοδος edd. ‖ 12. περιεβέβλητο] περιεβέβλητο codex.

αὐτῇ πάντη ἐχυρόν· ἐφάτη δὲ ὠκεῖτο ὡς πρὸς Αἴγυπτον ἐκ Φοινίκης ἰόντι ἐπὶ τῆς ἀρχῆς τῆς ἐρήμου.

Ἀλέξανδρος δὲ, ὡς ἀφίκετο πρὸς τὴ πόλει, τῇ μὲν πρώτῃ κατεστρατοπέδευσεν ἣ μάλιστα ἐπίμαχον ἐφαίνετο αὐτῷ τὸ τεῖχος, καὶ μηχανὰς συμπηγνύναι ἐκέλευσεν. Οἵ γε μὴν μηχανοποιοὶ γνώμην ἀπεδείκνυντο ἄπορον εἶναι βίᾳ ἑλεῖν τὴν πόλιν διὰ ὕψος τοῦ τείχους· ἀλλὰ Ἀλεξάνδρῳ αἱρετώτερον ἐδόκει εἶναι ὅσῳ ἀπορώτερον· ἐκπλήξειν γὰρ τοὺς πολεμίους τῷ παραλόγῳ ἐπὶ μέγα, καὶ τὸ μὴ ἑλεῖν αἰσχρὸν εἶναι λεγόμενον ἔς τε τοὺς Ἕλληνας καὶ ἐς Δαρεῖον. Ἐδόκει δὴ χῶμα ἐν κύκλῳ τῆς πόλεως χωννύναι, ὡς ἐξ ἴσου ἀπὸ τοῦ χωσθέντος ἐπάγεσθαι τὰς μηχανὰς τοῖς τείχεσι. Καὶ ἐχώννυτο κατὰ τὸ νότον μάλιστα τῆς πόλεως τεῖχος, ἵνα ἐπιμαχώτερα ἐφαίνετο. Ὡς δὲ ἐδόκει ἐξῆρθαι συμμέτρως τὸ χῶμα, μηχανὰς ἐπισήσαντες οἱ Μακεδόνες ἐπῆγον ὡς ἐπὶ τὸ τεῖχος τῶν Γαζέων. M. fol. 97 v°

Ὡς δὲ εἰσδρομὴ ἐκ τῆς πόλεως καρτερὰ ἐγένετο καὶ πῦρ τε

1. ἐχυρόν] sic codex. ὀχυρόν edd. — πρὸς Αἴγυπτον] sic codex. ἐς Αἴγυπτον edd. ‖ 2. ἰόντι] οντι cum signo √· in codice. — ὅπῃ τῆς ἀρχῆς] sic codex. ὅπῃ τῇ ἀρχῇ edd. ‖ 3. πρὸς τῇ πολει] sic codex. πρὸς τὴν πόλιν edd. ‖ 4. ἐφαίνετο αὐτῷ] sic codex. αὐτῷ ἐφαίνετο edd. ‖ 5. οἵ γε μὴν] sic codex. οἱ δὲ, omisso μὴν, ponunt edd. ‖ 6. ἑλεῖν τὴν πόλιν] sic codex. ἑλεῖν τὸ τεῖχος edd. ‖ 7. τοῦ τείχους] sic codex. τῆ χώματος edd. — αἱρετώτερον ἐδόκει εἶναι] sic codex. ἐδόκει αἱρετὸν εἶναι edd. ‖ 8. ἐκπλήξειν] εκπλεξιν codex, videlicet ex iotacismo, quo ΕΙ = Ι — Post πολεμίους addunt τὸ ἔργον edd. ‖ 9. Post εἶναι addunt οἱ edd. ‖ 10. Δαρεῖον] Δαριον ponit codex, quod referendum videtur ad iotacismum, quo ΕΙ = Ι. ‖ 12-13. ἐπιμαχώτερα] επιμαχωτερα sine accentu codex. ἐπιμαχώτερα edd. Correxi ex conjectura, nam adjectivum hoc opinor referri ad substantivum τῆς πολεως. ‖ 15. Γαζέων] sic codex. Γαζαίων edd. Omissis quæ sequuntur in textu Arriani de portento quod sese Alexandro rem divinam facienti obtulerat et de vatis responso, transit Epitomator ad ejusdem libri cap. XXVII, 1 et sqq. ubi etiam verba quædam ad idem vaticinium pertinentia recidit. ‖ 16. εἰσδρομὴ] sic codex. ἐκδρομὴ edd.

ἐπέφερον ταῖς μηχαναῖς οἱ Ἄραβες καὶ τοὺς Μακεδόνας ἀμυνομένους κάτωθεν αὐτοὶ ἐξ ὑπερδεξίας τὰ χωρία ἔβαλλόν τε καὶ ὤθουν κατὰ τὰ ποιητὰ χώματος, παραλαβὼν τοὺς ὑπασπιστὰς ὁ Ἀλέξανδρος παρεβοήθει ἵνα μάλιστα ἐπίεζοντο οἱ Μακεδόνες· καὶ τύπτει μὲν ἔχειν ὡς μὴ αἰχρᾷ φυγῇ ὠθῆναι κατὰ τὰ χώματος, αὐτὸς δὲ βάλλεται καταπέλτῃ διὰ τῆς ἀσπίδος διαμπὰξ καὶ τὰ θώρακος ἐς τὸν ὦμον.

Καὶ αὐτὸς μὲν τὸ τραῦμα ἐθεραπεύετο χαλεπῶς. Ἀφικνοῦνται δὲ αὐτῷ μεπάπεμπτοι αἱ δύο μηχαναὶ αἷς Τύρον εἶλεν. Καὶ χῶμα χωννύναι κύκλῳ πάντοθεν τῆς πόλεως ἐκέλευσεν, εὖρος μὲν εἰς δύο σταδίους, ὕψος δὲ ἐς πόδας πεντήκοντα καὶ διακοσίους.

Ὡς δὲ αἵ τε μηχαναὶ αὐτῷ ἐποιήθησαν καὶ ἐπαχθεῖσαι κατὰ τὸ χῶμα κατέστησαν τὰ τείχους ἐπιπολύ, ὑπονόμων τε ἄλλη καὶ ἄλλη ὀρυσσομένων καὶ τὰ χᾶ ἀφανῶς ἐκφερομένα, τὸ τεῖχος πολλαχῇ ἠρείπετο ὑφιζάνον κατὰ τὸ κενούμενον, τοῖς τε βέλεσιν ἐπιπολὺ κατεῖχον οἱ Μακεδόνες ἀνασέλλοντες τοὺς προμαχομένους τῶν πύργων, ἐς μὲν τρεῖς προβολὰς οἱ ἐκ τῆς πόλεως, ἀποθνη-

Ms. fol. 98 r°.

1–2. ἀμυνομένους] μυνομένους codex. | 3. παραλαβὼν] sic codex. ἀναλαβὼν edd. ‖ 3-4. ὁ Ἀλέξανδρος] omittunt edita, sed inseruit Epitomator, quippe qui præcedentia ubi nomen erat expressum recidisset ‖ 4. ἐπίεζοντο] ἐπιξοντο codex. | 5. ἔχειν ὡς μὴ αἰχρᾷ] sic codex. ἔχε τὰ μὴ ἐκ αἰχρᾶ] ponunt edd. ‖ 9. δὲ αὐτῷ] sic codex. δ' αὐτῷ edd. — μεπάπεμπτοι αἱ δύο μηχαναὶ] sic codex. μεπάπεμπτοι ἀπὸ θαλάσσης αἱ μηχαναί edd. ‖ 10. κύκλῳ] ἀ κύκλῳ edd. — εὖρος μὲν εἰς δύο σταδίους, ὕψος δὲ] sic certe legendum. ὕψος μὲν εἰς δύο σταδίους, εὖρος δὲ ponit codex, errore vel librarii vel ipsius Epitomatoris. ‖ 12. ἐπαχθεῖσαι] ἐπαχθεὶς codex. ‖ 13. κατέστησαν] κατεστασαν codex, videlicet ex iotacismo. ‖ 14. χοῦ] sic recte edd. πίχους ponit codex. | — ἐκφερόμενα] sic codex. ἐκφερομένη edd. ‖ 15. ἠρείπετο ὑφιζάνον] male ηρειπε πυφιζανον dividit codex. ‖ 16. Post προμαχομένους inserunt ἐκ edd. ‖ 17. προβολὰς] προβολὰς codex.

σκόντων τε αὐτοῖς πολλῶν καὶ λιτρωσκομένων, ὅμως ἀντεῖχον· τῇ τετάρτῃ δὲ τῶν Μακεδόνων τὴν Φάλαγγα πάντοθεν προσάγων Ἀλέξανδρος τῇ μὲν ὑπορυσσόμενον τὸ τεῖχος καταβάλλει, τῇ δὲ παιόμενον ταῖς μηχαναῖς κατασείει ἔππολύ, ὡς μὴ χαλεπὴν ταῖς κλίμαξι τὴν προσβολὴν κατὰ τὰ ἐρημωμένα ἐνδῦναι.

[Αἵ] τε οὖν κλίμακες προσήγοντο τῷ τείχει, καὶ ἔνεις πολλὴ ἦν τῶν Μακεδόνων, ὅσοι καὶ ἀρετῆς μετεποιοῦντο, ὅστις πρῶτος αἱρήσει τὸ τεῖχος.

Ὡς δὲ ἅπαξ παρῆλθόν τινες ἐντὸς τείχους τῶν Μακεδόνων, καταφλάσαντες ἄλλας καὶ ἄλλας πύλας ὅσαις ἕκαστοι ἐπετύγχανον, δέχονται εἴσω τὴν στρατείαν πᾶσαν. Οἱ δὲ Γαζαῖοι, καὶ τῆς πόλεως σφίσιν ἤδη ἐχομένης, ξυνεσκότες ὅμως ἐμάχοντο, καὶ ἀπέθανον πάντες αὐτοῦ μαχόμενοι ὡς ἕκαστοι ἐτάχθησαν.

2. προσαίγων] sic codex. προσαγαγὼν edd. | 3. καταβάλλει] καὶ βάλλει ponit codex. Verisimile est in prototypo exemplari litteris uncialibus exarato scriptum fuisse K. ΒΑΛΛΕΙ cum abbreviatione. ‖ 4. κατασείει] κατασει codex, ex iotacismo quo ΕΙ = I. ‖ 6. Αἵ] om. codex, qui ponit τινδυναιτι sine interpunctione. — ἔνεις πολλὴ ἦν] τρεις πολλην ponit codex, iterum ex iotacismo. ‖ 8. Post τεῖχος addunt edita : καὶ αἱρεῖ πρῶτος Νεοπτόλεμος τῶν ἑταίρων τῶ Λιακιδῶν γένους· ὅπη δὲ αὐτῷ ἄλλαι καὶ ἄλλαι ἔξεις ὁμοῦ πᾶς ἠκμάσει ἀνέβαινον. ‖ 9. ἐπὶς πίχους] sic codex. ἐπὶς τῶ πίχους ponunt edd. ‖ 11. στρατείαν] sic codex, qui στρατειαν sine accentu ponit. στρατειὰν habent edita. Frequens confusio syllabarum ΕΙ et I, propter pronuntiandi rationem quæ etiamnum apud Græcos usurpatur.

ΕΚ ΤΩΝ ΠΟΛΥΒΙΟΥ.

Συρακουσῶν πολιορκία.

Inscr. Ὅτε δὴ τὰς Συρακούσας Ἐπικύδης τε καὶ Ἱπποκράτης κατέλαβον, ἑαυτούς τε καὶ τοὺς ἄλλους τῶν πολιτῶν τῆς Ῥωμαίων φιλίας ἀλλοτριώσαντες, οἱ Ῥωμαῖοι, προσπεπτωκυίας αὐτοῖς ἤδη καὶ τῆς Ἱερωνύμου τοῦ Συρακουσίων τυράννου καταστροφῆς, Μάρκον Κλαύδιον ἀντιστράτηγον καταστήσαντες, αὐτῷ μὲν τὴν πεζὴν συνέστησαν δύναμιν· τὸν δὲ νηΐτην αὐτοῖς στόλον ἐπετρόπευσεν Ἄππιος Κλαύδιος. Οὗτοι μὲν δὴ τὴν στρατοπεδίαν ἐβάλλοντο μικρὸν ἀποχόντες τῆς πόλεως, τὰς δὲ προσβολὰς ἔκριναν ποιεῖσθαι τῇ μὲν πεζῇ δυνάμει κατὰ τοὺς ἀπὸ τῶν Ἑξαπύλων τόπους, τῇ δὲ ναυτικῇ κατὰ [τῆς] Ἀχραδίνης κατὰ τὴν Σκυθικὴν προσαγορευομένην στοάν, καθ' ἣν ἐπ' αὐτῆς κεῖται τῆς κρηπίδος τὸ τεῖχος παρὰ θάλασσαν. Ἑτοιμασάμενοι δὲ γέρρα καὶ βέλη καὶ τὰ ἄλλα τὰ πρὸς τὴν πολιορκίαν, οὐ προϊδόμενοι τὴν Ἀρχιμήδους δύναμιν, ἐν ἡμέραις πέντε διὰ τὴν πολυχειρίαν καταταχήσειν ἤλπισαν τῇ παρασκευῇ τοὺς ὑπεναντίους. Πλὴν ὁ προειρημένος

Ms. fol. 98 r.

Titulus Ἐκ τῶν Πολυβίου Συρακουσῶν πολιορκία litteris uncialibus in codice exaratus est. Insigne hoc fragmentum e Polybii libro octavo *De obsidione Syracusarum* plurimum differt ab editis, præsertim initio ac fine, ubi multa occurrunt nova et hucusque inedita. ‖ 3. φιλίας] φινας codex. ‖ 7. στρατοπεδίαν] scripsi ex codice pro vulgato στρατοπεδεία. ‖ 8. ἀποχόντες] ἀποχωντες codex. ‖ 10. κατὰ τῆς Ἀχραδίνης) restitui. κατασαχραδινης ponit codex. Verisimile est litteras TH in scriptura unciali evanuisse, unde librarius omisit. — Σκυθικὴν] σκυτικην codex. ‖ 10-11. προσαγορευομένην] προσαγορευομενη codex. ‖ 13. προϊδόμενοι] προειδομενοι ex iotacismo ponit codex. ‖ 14. καταταχήσειν] καταταχησιν iterum ex iotacismo codex.

ἀνὴρ κατὰ ἕνας τόπους ὡρισμένους ἑαυτὸν ἐπὶ τὸ τεῖχος ἡτοίμασε παρασκευήν, ὁμοίως δὲ καὶ πρὸς τοὺς κατὰ θάλατταν ἐμπρευομένους, ὥστε μηδὲν ἐν τῷ καιρῷ ἀφολεῖσθαι τοὺς ἀμυνομένους, πρὸς πᾶν δὲ τὸ γινόμενον ὑπὸ τῶν ἐναντίων ἐξ ἑτοίμου πιεῖσθαι τὴν ἀπάντησιν. Πλὴν ὁ μὲν Μάρκος, ἔχων χέρρα καὶ κάμακας, ἐνεχείρει προσφέρειν ταῦτα τῷ συνάπτοντι τείχει τῆς Ἐξαπύλοις ἀπὸ τῶν ἀναπολῶν.

Ὁ δὲ Ἄππιος ἐξήκοντα σκάφεσι πεντηκοντόροις ἐποιεῖτο τὸν ἐπίπλουν ἐπὶ τὴν Ἀχραδίνην, ὧν ἕκαστον πλῆρες ἦν ἀνδρῶν ἐχόντων τόξα καὶ σφενδόνας καὶ χρόσφους, δι' ὧν ἔμελλον τοὺς ἀπὸ τῶν ἐπάλξεων μαχομένους ἀναστέλλειν. Ἅμα δὲ τούτοις ὀκτὼ πεντήρεσι παρηλελυμέναις τοὺς παρούς, ταῖς μὲν τοὺς δεξιούς, ταῖς δὲ τοὺς εὐωνύμους, καὶ συνεζευγμέναις πρὸς ἀλλήλας σύνδυο κατὰ τοὺς ἐψιλωμένους τοίχους, προσῆγον πρὸς τὸ τεῖχος διὰ τῆς τῶν ἐκτὸς τοίχων εἰρεσίας τὰς λεγομένας Σαμβύκας.

6. κάμακας] sic codex, sed ex editis videtur legendum κλίμακας. Facilis est confusio in scriptura unciali, præcipue si littera I exciderit, ita ut fiat ΚΛ. ΜΑΞ. | 7. ἀναπολῶν] hucusque sunt fere inedita, quippe quæ in edito fragmento Polybiano partim omnino non occurrant, partim occurrant longe diversa. Quod minime mirandum est, quum edita vel ex Suida vel ex libello anonymo *De toleranda obsidione* qui vulgo Heroni tribuitur (cf. editionem veterum Mathematicorum Thevenotianam p. 326) conflata fuerint. Sed ea quæ sequuntur magis congruunt cum editis reliquiis Polybianis libri VIII. quæ inter *Excerpta antiqua* numerantur. (Vid. pagg. 391-393 editionis Polybianæ quam Dübnerus edidit Parisiis. Didot. 1839.) ‖ 8. Ἄππιος] sic codex. Μάρκιος edd. Vice versa paulo supra (l. 5) codex noster ponit Μάρκος, ubi habent Ἄππιος edita (cf. pag. 321, l. 5-7 ed. nostræ). — ἑξήκοντα σκάφεσι] ἑξηκοντασιν ponit codex errore librarii qui litteras K et E omisit. ‖ 9. Ἀχραδίνην] αχραδεαν codex. — ἕκαστον] εκαστον codex, sed locus notatus est signo √· prima manu exarato. ‖ 11-12. πεντήρεσι] πεντῆρσι codex. ‖ 14. ἐψιλωμένους] ἐψιλομένους codex. ‖ 15. εἰρεσίας] ειρησιας codex. — σαμβύκας] σαμβυκας sine accentu codex. σάμβυκας ponunt edita, ex Schweighæuseri conjectura, qui

Τὸ δὲ γένος τῶν διούπων ὀργάνων ἐστὶ διοῦπο. Κλίμακα τῷ πλάτει τετράπεδον ἐποιμάσαντες, ὥστε ἐξ ὑποβάσεως ἰσοΰψη γενέσθαι τῷ τείχει, ταύτης ἑκατέραν τὴν πλευρὰν δρυφακτώσαντες καὶ σκεπάσαντες ἰστερπετέσι θωρακίοις, ἔθηκαν σκαλίαν ἐπὶ τοὺς συμφαίνοντας τοίχους τῶν συνεζευγμένων νεῶν, πολὺ προπίπτουσαν τῶν ἐμβόλων. Πρὸς δὲ ταῖς ἰσοῖς ἐκ τῶν ἄνω μερῶν προχλίαι προσήρτηνται σὺν κάλοις. Λοιπόν, ὅταν ἐγίσωσι τῇ χειρί, ἐνδεδεμένων τῶν κάλων εἰς τὴν κορυφὴν τῆς κλίμακος, [ἕλκουσι] διὰ τῶν προχλιῶν δύπους ἐσώπες ἐν ταῖς πύμναις· ἕτεροι δὲ παραπλησίως ἐν ταῖς πρῴραις ἐξερείδοντες ταῖς ἀντήρεσιν ἀσφαλίζονται τὴν ὄρσιν τοῦ μηχανήματος. Κἄπειτα διὰ τῆς εἰρεσίας τῆς ἀφ' ἑκατέρου τῶν ἐκτὸς ταρσῶν ἐγίσαντες τῇ γῇ ταῖς ναυσὶ, πειράζουσι προσερείδειν τῷ τείχει τὸ προειρημένον ὄργανον ἠσφαλισμένον γέρρῳσι ταῖς τρεῖς ἐπιφανείαις· ἐφ' ὧν τέτταρες ἄνδρες ἐπιβεβηκότες ἀγωνίζονται διαμαχόμενοι πρὸς

formam ἡ σάμβυξ, τῆς σαμβύκης, a Suida propositam recepit. De hoc vocabulo confer notam nostram ad Bitonem (p. 60, l. 11-p. 61, l. 2). ‖ 1. ἐστὶ] εστο codex. An legendum ἔστω? Diversa sunt edita, in quibus legitur: Τὸ δὲ γένος τῆς κατασκευῆς τῶν εἰρημένων ὀργάνων ἐστὶ διοῦπον. ‖ 2. ἰσοΰψη] εισυψη codex. ‖ 3-4. δρυφακτώσαντες] δρυφακτωσαντες codex. ‖ 4. σκεπάσαντες] σκεπαντες codex. ‖ 7. προχλίαι] προυϊλιαι codex, ex confusione litterarum uncialium Υ et Χ, in quibus pars superior utrinque similis est. — προσήρτηνται] sic recte codex, nam infra ἕλκουσι et ἀσφαλίζουσι occurrunt. προσάρτηται ponunt edd. ‖ 7-8. τῇ χειρί] sic recte codex. τῆς χειρὸς edd. ‖ 9. ἕλκουσι] om. codex. Habent edd. ‖ 10. ἐξερείδοντες] ἐξερεισάντες codex. ‖ 10-11. ἀντήρεσιν] scripsi ex Athenæo mechanico (p. 17, l. 12 ed. nostræ) et ex Apollodori Poliorceticis (p. 162, l. 2 not. et p. 178, l. 4-5 not. ejusdem ed.). Ponit hoc loco ἀντήρεισιν ex iotacismo codex. ἀντηρείσιν edd. ‖ 11. ἀσφαλίζονται] sic codex. ἀσφαλίζουσι edd. — ὄρσιν] αρσιν codex. — κἄπειτα] posui cum ἰῶτα subscripto ex codice ubi καπειτα. ‖ 14. Post ὄργανον inserunt edita ἐπὶ δὲ τῆς κλίμακος ἄκρας ὑπάρχει πίτυρον ἠσφαλισμένον κ. τ. λ. Quæ recidit Epitomator, quum tamen ad rem declarandam atque illustrandam apta fuissent.

τοὺς εἴργοντας ἀπὸ τῶν ἐπάλξεων τὴν προσθέσιν τῆς σαμβύκης. Ἐπὰν δὲ προσερείσαντες ὑπερδέξιοι γένωνται τοῦ τείχους, οὗτοι μὲν τὰ πλάγια τῶν γέρρων παραλύσαντες ἐξ ἑκατέρου μέρους ἐπιβαίνουσιν ἐπὶ τὰς ἐπάλξεις ἢ τοὺς πύργους, οἱ δὲ λοιποὶ διὰ τῆς σαμβύκης ἕπονται τούτοις ἀσφαλῶς τοῖς κάλοις βεβηκυίας τῆς κλίμακος εἰς ἀμφοτέρας τὰς ναῦς.

Οὗτοι μὲν οὖν, τὸν τρόπον τοῦτον διηρμοσμένοι, τῷ τείχει προσέβαλλον. Ὁ δὲ προειρημένος ἀνὴρ παρεσκευασμένος ὄργανα πρὸς ἅπαν ἐμβάλλει διάστημα· πορρωθεν μὲν ἐπιπλέοντας τοῖς εὐτονωτέροις καὶ μείζοσι λιθοβόλοις καὶ βέλεσι τιτρώσκων, εἰς ἀπορίαν ἐνέβαλε καὶ δυσχρηστίαν· ὅτε δὲ ταῦτα ὑπερπετῆ γίνοιτο, τοῖς ἐλάττοσι κατ' ἔλαττον ἀεὶ πρὸς τὸ παρὸν ἀπόστημα χρώμενος, εἰς τοιαύτην ἤγαγε διατροπὴν ὥστε καθόλου κωλύειν αὐτῶν τὴν ὁρμὴν καὶ τὸν ἐπίπλουν, ἕως ὁ Μάρκος ἠναγκάσθη λάθρα νυκτὸς ποιήσασθαι τὴν παραγωγήν. Γενομένων δὲ αὐτῶν ἐντὸς βέλους πρὸς τῇ γῇ, πάλιν ἑτέραν ἡτοιμάκει παρασκευὴν πρὸς τοὺς ἀπομαχομένους ἐκ τῶν πλοίων. Ὡς ἀνδρομήκους ὕψους κατε-

Ms. fol. 99 v°

1. εἴργοντας] εισρεοντας codex. ‖ 3. ἑκατέρου μέρους] sic codex. ἑκατέρου τοῦ μέρους edd. ‖ 5. κάλοις] κωλοις codex. ‖ 6. Post verba εἰς ἀμφοτέρας τὰς ναῦς legitur in editis: Εἰκότως δὲ τὸ κατασκεύασμα τῆς προσηγορίας τέτευχε ταύτης· ἐπειδὰν γὰρ ἐξαρθῇ, γίγνεται τὸ σχῆμα τῆς νεὼς ταύτης καὶ τῆς κλίμακος ἐνοποιηθὲν παραπλήσιον σαμβύκῃ. ‖ 7. Οὗτοι μὲν οὖν] sic codex. Πλὴν οὗτοι μὲν edd. ‖ 7-8. τῷ τείχει προσέβαλλον] sic codex. προσάγειν διενοοῦντο τοῖς πύργοις edd. ‖ 8. παρεσκευασμένος] παρεσευασμενος codex. ‖ 9. ἐμβάλλει] sic codex, recte quidem, ut mihi videtur. ἐμβελὲς edd. ‖ 11. δυσχρηστίαν] δυσχριστιαν codex. — γίνοιτο] sic codex. γένοιτο edd. ‖ 12. κατ' ἔλαττον ἀεὶ] κατελαττον α ει codex. κατὰ λόγον ἀεὶ ponunt edita, quam lectionem Minas propria manu litteris rubricatis codici adscripsit. Sed multo elegantior lectio genuina codicis. ‖ 14-15. ὁ Μάρκος ἠναγκάσθη κ. τ. λ.] horum in locum ponunt edita ὁ Μάρκος δυσθετούμενος ἠναγκάσθη λάθρα νυκτὸς ἔτι ποιήσασθαι τὴν παραγωγήν. ‖ 15. δὲ αὐτῶν] sic codex. δ' αὐτῶν edd. ‖ 17. ὕψους] ὕψος codex.

πύκνωσε τρήμασι τὸ τεῖχος ὡς παλαιστάιοις τὸ μέγεθος κατὰ τὴν ἐκτὸς ἐπιφάνειαν· οἷς τοξότας καὶ σκορπίδια παρασήσας ἐντὸς τοῦ τείχους καὶ βάλλων διὰ τούτων ἀχρήστους ἐποιεῖ τοὺς ἐπιβάτας· ἐξ οὗ καὶ μακρὰν ἀπόντας καὶ σύνεγγυς ὄντας τοὺς πολεμίους οὐ μόνον ἀπράκτους παρεσκεύαζε τοῖς ἰδίαις ἐπιβολάς, ἀλλὰ καὶ διέφθειρε τοὺς πλείστους αὐτῶν. Ὅτε δὲ τὰς σαμβύκας ἐγχειρήσαιεν ἐξαιρεῖν, ὄργανα παρ' ὅλον τὸ τεῖχος ἡτοιμάκει τὸν μὲν λοιπὸν χρόνον ἀφανῆ· κατὰ δὲ τὸν τῆς χρείας καιρὸν ἐκ τῶν ἔσω μερῶν ἐπὶ τοῦ τείχους ἀνιστάμενα καὶ προπίπτοντα πολὺ τῆς ἐπάλξεως ταῖς κεραίαις, ὧν τινα μὲν ἐβάσταζε λίθοις ἐκ ἑλάττοις δέκα ταλάντων, ἃ δὲ σκώματα μολίβδινα. Λοιπόν, ὅτε συνεγγίζοιεν αἱ σαμβύκαι, τότε περιαγόμεναι τοῖς τὸ δέον αἱ κεραῖαι διά τινος σχασπείας ἠφίεσαν εἰς τὸ κατασκεύασμα τὸν λίθον. Ἐξ οὗ συνέβαινε μὴ μόνον αὐτὸ θραύεσθαι τὸ ὄργανον, ἀλλὰ καὶ τὴν ναῦν καὶ τοὺς ἐν αὐτῇ κινδυνεύειν ὁλοκλήρους. Τινά τε τῶν μηχανημάτων πάλιν ἐπὶ τοὺς ἐφορμοῦντας καὶ προβεβλημένους χέρρα καὶ διὰ τούτων ἠσφαλισμένους τοῖς τὸ μηδὲν πάσχειν ἀπὸ τῶν ἐκ τοῦ τείχους φερομένων βελῶν, ἠφίει μὲν καὶ λίθοις συμμέτροις τοῖς τὸ φεύγειν ἐκ τῆς χώρας τοὺς ἀγωνιζομένους· ἅμα

4. ἀπόντας] sic codex. ἀφεστῶτας edd. ‖ 6. σαμβύκας] συμβυκας ponit codex. De nomine sambucæ cf. notam ad locum Bitonis supra laudatum, p. 61 ed. nostræ. ‖ 9. ἐπὶ τοῦ τείχους] sic codex. ὑπὲρ τοῦ τείχους edd. ‖ 10. κιραίαις] κιρκιαῖς ponit περισπωμένως codex. ‖ 11. σκώματα] α V. κωνατα ponit codex. Quippe confudit librarius litteras O = C in textu unciali unde fragmenta hæc descripta fuisse videntur. Nota V· prima manu apposita indicat corruptam lectionem. ‖ 12. Post περιαγόμεναι inserunt χαρχησίῳ edita. ‖ 13. ἠφίεσαν] sic codex. ἀφίεσαν edd. ‖ 14. θραύεσθαι] sic codex. συνθραύεσθαι edd. — τὸ ὄργανον] sic codex. πύργανον edd. ‖ 17. πάσχειν ἀπό] sic codex. πάσχειν ὑπό edd.

δὲ κῆ καθῆει χεῖρα σιδηρᾶν ἐξ ἀλύσεως δεδεμένην, ᾗ δραξάμενος ὁ τὴν κεραίαν οἰακίζων, ὅθεν ἐπλάβοιτο τῆς ῥοφέρας, κατῆγε τὴν πέρναν τῆς μηχανῆς ἐντὸς τοῦ τείχους. Ὅτε δὲ κουφίζων τὴν ῥοφέραν ὀρθὸν ποιήσειε τὸ σκάφος ἐπὶ πρύμναν, τὰς μὲν ῥοφέρας τῶν ὀργάνων εἰς ἀκίνητον καθῆπτε, τὴν δὲ χεῖρα καὶ τὴν ἄλυσιν ἐκ τῆς μηχανῆς ἐξέρρηνε διά τινος χασμείας. Οὗ γινομένου, τινὰ μὲν τῶν πλοίων πλάγια κατέπιπτον, τινὰ δὲ κῆ κατεστρέφετο· τὰ δὲ πλεῖστα, τῆς ῥοφέρας ἀφ' ὕψους ῥιφθείσης, βαπτιζόμενα πλήρη θαλάττης ἐγίνετο. 5 Ms. fol. 199 r

Οἱ δὲ τῶν Ῥωμαίων στρατηγοί, τοῖς ὅλοις ἀποροῦντες τοῦ μηκέτι ποτὲ ἂν ἐλπίσαι διὰ πολιορκίας τὰς Συρακούσας ἑλεῖν, τῶν μὲν ἄλλων στρατηγημάτων ἢ τολμημάτων οὐδενὸς ἀπέσησαν, τοῦ δὲ πολιορκεῖν οὐδὲ πεῖραν ἔτι λαβεῖν ἐθάρρησαν. Μετὰ δέ τινας ἡμέρας αὐτομόλου διασαφήσαντος ὅτι θυσίαν ἄγουσι πάνδημον οἱ κατὰ τὴν πόλιν ἐφ' ἡμέρας ἤδη τρεῖς Ἀρτέμιδι, κῆ τοῖς μὲν ἄλλοις λιποῖς χρῶνται διὰ τὴν σπάνιν, τῷ δὲ οἴνῳ δαψιλεῖ, πολὺν μὲν Ἐπικύδου δεδωκότος, πολὺν δὲ Συρακουσίων, τότε προσανα- 10 Incl. 15

1. χεῖρα] χερα codex. ‖ 3. ὅτε δὲ] ὁδὲ codex. ‖ 4. ποιήσειε] ποιουσα codex. ‖ 5. καθῆπτε] καθηπτα codex. καθῆσα conj. Minas. ‖ 6. ἐξέρρηνε] sic codex. ἐξέρρωγε edd. ‖ 6-7. γινομένου] sic codex. γινομένων edd. ‖ 7. καπιπτον] sic codex, more ut videtur Byzantino. κατέπιπτε ponunt edita. ‖ 9. θαλάττης] αλαττης codex. — ἐγίνετο] sic codex. ἐγίγνετο edd. — Post ἐγίνετο addunt καὶ ταραχῆς edita. ‖ 10. Οἱ δὲ τῶν Ῥωμαίων] hic incipit pars quae ab editis fragmentis tam longe discrepat, ut ipsa pro fragmento inedito habenda sit. Confer in textu Polybiano lib. VIII, cap. VII. 5, 6; cap. IX. 1-12; cap. XXXVII. 1-5. Conferendus etiam Hero *De toleranda obsidione* qui propius ad textum nostrum accedit (pag. 319-320 ed. Th.). ‖ 14. διασαφήσαντος] διασαφήσαντες codex, sed correxit prima manus ες in ος. — θυσίαν] emendavi. θυσιαι codex. ‖ 17. Ἐπικύδου] restitui. επικυδυ codex. — πολὺν μὲν. ..... πολὺν δὲ] πολυ μὲν..... πολὺν δὲ ponit codex.

λαβὼν ὁ Μάρκος τὸ τεῖχος καθ' ὃ μέρος ἦν ταπεινότερον, καὶ νομίσας εἰκὸς εἶναι τοὺς ἀνθρώπους μεθύειν διὰ τὴν ἄνεσιν καὶ τὴν εὐδαιμονίαν τῆς ξηρᾶς τροφῆς, ἐπεβάλετο καταπειράζειν τῆς ἐλπίδος. Ταχὺ δὲ κλιμάκων δυοῖν συντεθεισῶν εὐαρμόστων, πρὸς τὸ τεῖχος ἐγένετο πρὲ τὰ συνεχῆ τῆς προάξεως, καὶ τοῖς μὲν ἐπιπλείοις πρὸς τὴν ἀνάβασιν καὶ τὸν ἐπιφανέστατον καὶ πρῶτον κίνδυνον ἐκοινολογεῖτο πρὲ τοῦ μέλλοντος· μεγάλας ἐλπίδας αὐτοῖς ἐνδιδούς· τοὺς δὲ τούτοις ὑπουργήσοντας καὶ προσοίσοντας κλίμακας ἐξέλεξε, διασαφῶν οὐδὲν πλὴν ἑτοίμους εἶναι πρὸς τὸ παραγγελλόμενον. Πειθαρχησάντων δὲ κατὰ τὸ συνταχθέν, λαβὼν τὸν ἁρμόζοντα καιρὸν νυκτός, ἦγειρε τοὺς πρόπους· προπέμψας δὲ τοὺς ἅμα ταῖς κλίμαξι μετὰ σημείας καὶ χιλιάρχου, καὶ προσαναμνήσας τῶν ἐσομένων δωρεῶν τοῖς ἀνδραγαθήμασι, μετὰ δὲ ταῦτα πᾶσαν τὴν δύναμιν ἐξεγείρας, τοὺς μὲν πρόπους ἐν διαστήματι κατὰ σημείαν ἐξαποστέλλει· ἐνωμένων δὲ τούτων εἰς χιλίους, βραχὺ διαλιπὼν αὐτὸς εἵπετο μετὰ τῆς ἄλλης στρατείας. Ἐπεὶ δὲ οἱ φέροντες τὰς κλίμακας ἔλαθον ἀσφαλῶς τῷ τείχει προσερείσαντες, ἐξ αὐτῆς ὥρμησαν ἀπροφασίστως οἱ πρὸς τὴν ἀνάβασιν ὑποτεταγμένοι. Λαθόντων δὲ καὶ τούτων καὶ στάντων ἐπὶ τοῦ τείχους βεβαίως, οὐκέτι κατὰ τὴν ἐξ ἀρχῆς τάξιν, ἀλλὰ κατὰ δύναμιν ἅπαντες ἔμελλον διὰ τῶν κλιμάκων. Κατὰ μὲν οὖν τὰς ἀρχὰς ἐπιπορευόμενοι τὴν ἐφοδίαν ἔρημον εὕρισκον· οἱ γὰρ ἐς τοὺς πύργους ἠθροισμένοι διὰ τὴν θυσίαν, οἱ ἐς μὲν ἀκμὴν

5-6. ἐπιπλείοις] ἐπιπλοις codex. ‖ 12. σημείας] sic codex. Apud Polybium σημεία (ῑ) = σημαία. ‖ 22. ἐφοδίαν] sic codex. ἐφοδία = ἐφοδεία.

ἔπινον, οἱ δὲ ἐκοιμῶντο πάλαι μεθυσκόμενοι. Διὸ καὶ τοῖς μὲν πρώτοις καὶ τοῖς ἐξῆς ἐπιπάντες ἄφνω καὶ μεθ' ἡσυχίας, ἔλαθον τοὺς πλείστους αὐτῶν ἀποκτείναντες. Ἐπειδὴ δὲ τοῖς Ἐξαπύλοις ἤδη ἐγγὺς καταβαίνοντες, ἐνῳκοδομημένην τὴν πρώτην πυλίδα διεῖλον, δι' ἧς τόν τε στρατηγὸν καὶ τὸ λοιπὸν ἐδέξαντο στράτευμα. Οὕτω δὴ τὰς Συρακούσας εἷλον Ῥωμαῖοι.

ΑΜΒΡΑΚΙΑΣ ΠΟΛΙΟΡΚΙΑ

ΠΟΛΥΒΙΟΥ Β' ΚΑ.

..... Ὁ δὲ Μάρκος, ἀσφαλισάμενος τὰ κατὰ τὰς στρατοπεδίας, συνίστατο μεγαλομερῶς τὴν πολιορκίαν, καὶ τεῖα μὲν ἔργα κατὰ τὸ Πύρραιον προσεποιεῖτο διὰ τῶν ἐπιπέδων, διεζωτα μὲν ἀπ' ἀλλήλων, παράλληλα δέ· τέταρτον δὲ κατὰ τὸ Ἀσκληπιεῖον, πέμπτον δὲ κατὰ τὴν ἀκρόπολιν. Γινομένης δὲ τῆς προσα-

4. τὴν πρώτην πυλίδα] sic legendum esse existimavi. Ponit codex τὴν απυλιδα. ubi littera α numeralis est. Confer falsam lectionem ἀσπαθαίειος apud Phot. Epist. p. 69, 2, ubi Ἰωάννῃ Ἀσπαθαείῳ = Ἰωάννῃ προσπαθαείῳ, quod bene animadvertit vir doctissimus C. B. Hase in *Thes. ling. gr.* s. v. ἀσπαθαίειος.

Titulus Ἀμβρακίας πολιορκία Πολυβίου βι. (scilicet βιβλίον) ΚΑ litteris uncialibus exaratus est in codice. Fragmentum hoc e Polybii libro vicesimo primo *De obsidione Ambraciæ* jam pridem notum erat ex libello anonymo *De toleranda obsidione* qui vulgo Heroni tribuitur (cf. p. 324-325 ed. Thevenotianæ), verum unde petitum esset non liquebat, quippe quum ad librum vicesimum secundum (p. 657 ed. Didot) vulgo referretur. Conferendus etiam Livius, l. XXXVIII, v et vii. Ex apographo Minæ (Cod. Par. Supp. Gr. 485) edidit C. Müllerus (Parisiis, Didot, 1847). Nos ex prototypo codice domus. ‖ 7-8. στρατοπεδίας] sic codex. στρατοπεδείας Müllerus. ‖ 9. τὸ Πύρραιον] sic codex. τὸ Πύρρειον Schweighæuserus. *Pyrrheum quod vocant* vertit Livius. — προσεποιεῖτο] προσεπι cum signo ν̄ ponit codex. ‖ 10-11. κατὰ τὸ Ἀσκληπιεῖον] sic quoque Livius : *unum e regione Æsculapiei.*

γωγῆς ἐνεργοῦ κατὰ πάντας ἅμα τοὺς τόπους, ἐκπληκτικὴν συνέβαινε γίνεσθαι τοῖς ἔνδον τὴν τῶν μέλλοντος προσδοκίαν. Τῶν δὲ κριῶν τυπτόντων ἐνεργῶς τὰ τείχη καὶ τῶν δορυδρεπάνων ἀποσυρόντων τὰς ἐπάλξεις, ἐπειρῶντο μὲν οἱ κατὰ τὴν πόλιν ἀντιμηχανᾶσθαι πρὸς ταῦτα, τοῖς μὲν κριοῖς διὰ κεραιῶν ἐνιέντες σιδηρᾶ καὶ λίθους, τοῖς δὲ δρεπάνοις σιδηρᾶς περιπλέντες ἀγκύρας καὶ καταχόντες ταῦτα ἔσω τοῦ τείχους, ὥστε, ἐπὶ τὴν ἔπαλξιν συντελοῦντος τοῦ δόρατος, ἐγκρατεῖς γίνεσθαι τῶν δρεπάνων. Τὸ δὲ πλεῖον ἐπεξιόντες ἐμάχοντο γενναίως, ποτὲ μὲν ἐπιπλέοντες νύκτωρ τοῖς ἐπικοιτοῦσιν ἐπὶ τῶν ἔργων, ποτὲ δὲ τοῖς ἐφημερεύουσι μεθ' ἡμέραν προφανῶς ἐγχειροῦντες.

Οἱ δὲ Ῥωμαῖοι, συνεχῶς ἐνεργοῦντες τοῖς κριοῖς, ἀεί τι παρέλυον τῶν τειχῶν. Οὐ μὴν εἰς γε τὴν πόλιν ἐδύναντο βιάσασθαι διὰ τῶν πλωμάτων, τῷ καὶ τὴν ἀντοικοδομίαν ὑπὸ τῶν ἔνδον ἐνεργὸν εἶναι καὶ μάχεσθαι γενναίως ἐπὶ τοῦ πίπτοντος μέρους τοὺς Λιπωλούς. Διόπερ ἀπορούμενοι κατέντησαν ἐπὶ τὸ μεταλλεύειν καὶ

1. ἐνεργοῦ] sic codex. ἐνεργοῦς Müllerus. — ἐκπληκτικὴν] ικπλνκτικη codex. | 2-3. τῶν δὲ κριῶν τυπτόντων] sic codex. *Arietibus muros quatiebat* vertit Livius. ‖ 3. δορυδρεπάνων] *asseribus falcatis* vertit Livius. ‖ 6. σκώματα μολυβδᾶ καὶ λίθους] emendavi. σκωματωιολυβδα καὶ λιθους ponit codex. Aliquanto plenior locus in editis : σκώματα μολύβδινα καὶ λίθους καὶ ξύλα δρύϊνα. *In arietes tollenonibus libramenta plumbi aut saxorum stipitesve robustos incutiebant* vertit Livius. ‖ 7. καταχόντες] καταχωντις codex. καταστῶντες post Schweighæuserum Müllerus, ex Livio qui *trahentes* vertit. ‖ 8. δόρατος] *asserem* vertit Livius, qui hunc locum ita expressit : *falcem, ancoris ferreis injectis in inferiorem partem muri trahentes asserem, præfringebant.* ‖ 10. ἔργων] τειων codex ponit, ex confusione litterarum Ι et Γ in scriptura unciali. Vertit Livius *custodias operum.* ‖ 13. εἰς] sic codex. ἐς Müllerus. ‖ 14. ἀντοικοδομίαν] *novus pro diruto murus objiciebatur* vertit Livius. | 14-15. ἐνεργὸν] εργον codex, ubi manifesto librarius litteras ΕΝ omisit. ‖ 15-16. Λιπωλούς] αιπωδου codex, ubi Δ = Λ in scriptura unciali. ‖ 16. κατέντησαν] κατη √· σαν ponit codex. ‖ 16-p. 330, 1. καὶ χεῖσθαι] κιχεῖσθαι codex. Confer κιχρημάδω

χρῆσθαι τοῖς ὀρύγμασιν ὑπὸ γῆς. Ἀσφαλισάμενοι δὲ τὸ μέσον ἔργον τῶν τειχῶν τῶν προϋπαρχόντων καὶ σκεπάσαντες ἐπιμελῶς τὴν σύριγγα τοῖς χέρραις, προσεβάλοντο σοὰν παρεμβολὴν τῷ τείχει σχεδὸν ἐπὶ δύο πλέθρα· καὶ λαβόντες ἀρχὴν ἐκ ταύτης, ὤρυττον ἀδιαπαύστως καὶ τὴν νύκτα καὶ τὴν ἡμέραν ἐκ διαδοχῆς. Ἐφ' ἱκανὰς μὲν οὖν ἡμέρας ἐλάνθανον τοὺς ἔνδον φέροντες ἔξω τὸν χοῦν διὰ τῆς σύριγγος· ὡς δὲ μέγας ὁ σωρὸς ἐγένετο ἐκφερομένης γῆς καὶ σύνοπτος τοῖς ἐκ τῆς πόλεως, οἱ προεστῶτες τῶν πολιορκουμένων ὤρυττον τάφρον ἔσωθεν ἐναντίαν παρεμβολὴν τῷ τείχει καὶ τῇ σάσει περὶ τῶν πύργων.

Ἐπειδὴ δὲ βάθος ἔσχεν ἱκανόν, ἐξῆς ἔθηκαν παρὰ τὸν ἕνα τοῖχον τῆς τάφρου τὸν ἐγγὺς τῷ τείχει χαλκώματα συνεχῆ λεπτότατα ταῖς κατασκευαῖς· καὶ παρὰ ταῦτα διὰ τῆς τάφρου παριόντες, ἠκροῶντο τοῦ ψόφου τῶν ὀρυττόντων ἔξωθεν. Ἐπεὶ δὲ ἐσημειώσαντο τὸν τόπον καθ' ὃν ἐδήλου τινὰ τῶν χαλκωμάτων διὰ τῆς συμπαθείας, ὤρυττον ἔσωθεν ἐπικαρσίαν πρὸς τὴν ὑπαρχούσην ἄλλην κατὰ γῆς τάφρον ὑπὸ τὸ τεῖχος, σπεύδοντες τοῦ συμπεσεῖν ἐναντίοι τοῖς πολεμίοις. Ταχὺ δὲ τούτου γινομένου διὰ τὸ τοὺς Ῥωμαίους μὴ μόνον ἀφῖχθαι πρὸς τὸ τεῖχος ὑπὸ γῆς ἀλλὰ καὶ

— καὶ κριμάσθω in Apollodori Poliorceticis (p. 181. l. 7 ed. nostrae). Etenim Ε = ΑΙ in pronuntiandi ratione quae apud Graecos etiamnum usurpatur. ‖ 3. τὴν σύριγ[γα] sic codex. Delendum censuit Müllerus. Vertit autem Livius *cuniculum occultum vineis ante contecto loco agere instituit.* ‖ — προσεβάλοντο] sic codex. προσεβάλλοντο Müllerus. — παρεμβολὴν] παρεμβολων codex. ‖ 5. ἀδιαπαύστως] διαπαυστως codex. ‖ 10. τῇ σάσει] sic codex. τῇ σοᾷ τῇ Müllerus. ‖ 11. ἔτα] ετ codex. 13. Post κατασκευαῖς inserunt ex Herone edita οἷον λικάνας καὶ ἕτερα ὅμοια τούτοις. Omittit codex. ‖ 16. Post συμπαθείας addunt ex Herone edita ἀντίχουν γὰρ πρὸς τὴν ἐκτὸς ψόφον, quae non sunt in codice. ‖ 19. ἀφῖχθαι] αφιχθαι codex.

διεσυλωκέναι τόπον ἱκανὸν τῆς πείρας ὑπὸ γῆς ἐφ' ἑκάτερον τὸ μέρος τῆς μετάλλου, συνέπεσον ἀλλήλοις. Καὶ τὸ μὲν πρῶτον ἐμάχοντο ταῖς σαρίσαις ὑπὸ γῆν. Ἐπεὶ δὲ οὐδὲν ἠδύναντο μέγα ποιεῖν διὰ τὸ προβάλλεσθαι θυρεοὺς καὶ γέρρα πρὸ αὐτῶν ἀμφότεροι, τὸ τηνικάδε ὑπέθετό τις τῶν πολιορκουμένων, πίθον πρησθέντος ἀέρος κατὰ τὸ πλάτος τῷ μετάλλῳ, τρυπῆσαι τὸν πυθμένα, καὶ λεπώσαντας αὐλίσκον σιδηροῦν ἴσον τῇ πείρᾳ πλῆσαι τὸν πίθον τῷ πίλῳ λεπτῷ, καὶ πυρὸς παντελῶς μικρὸν ἐμβαλεῖν ὑπὸ αὐτὸ τὸ τῆς πίθου περισόμιον· κἄπειτα σιδηροῦν πῶμα τρημάτων πλῆρες τῷ στόματι περιθέντας, ἀσφαλῶς εἰσάγειν διὰ τῆς μετάλλου νεῦον τῷ στόματι πρὸς τοὺς ὑπεναντίους· ὁπότε δὲ ἐπίσαιεν τοῖς πολεμίοις, περισάξαντας τὰ χείλη τῆς πίθου πανταχόθεν, τρήματα δύο καταλιπεῖν ἐξ ἑκατέρου τῆς μέρους, δι' ὧν διωθοῦντες ταῖς σαρίσαις ἐκ ἑάσωσι προσιέναι τῷ πίθῳ τοὺς ὑπεναντίους· μετὰ δὲ ταῦτα λαβόντας ἀσκὸν ᾧ οἱ χαλκεῖς χρῶνται καὶ προσαρμόσαντας πρὸς τὸν αὐλὸν τὸν σιδηροῦν, φυσᾶν ἐνεργῶς τῷ πρὸς τῷ στόματι πυρὶ ἐν τοῖς πίλοις ἐγκειμένῳ, κατὰ

Vi. vol. 192 r.

1. μετάλλου] sic codex. ὀρύγματος ponunt ex Herone edita. ‖ 3. ταῖς σαρίσαις] ταῖσαρισαῖς ponit codex, tanquam scribendum esset σαρισά. *Prelongæ hastæ quas sarissas vocant* Livius. — δι' ὀδὲν] sic codex. δ' ὀδὲν Müllerus. ‖ 4. θυρεοὺς] θυραιους codex. ‖ 4-5. ἀμφότεροι] sic codex, quocum consentit Hero. ἀμφοτέρους Müllerus. ‖ 7. λεπώσαντας] λιωσαντις codex. ‖ 8. πίλῳ] sic videtur legendum ex Livio, qui *tenui pluma completum dolium* vertit. Sed πίλῳ ponit codex. Confer tamen p. 332, l. 4, not. ubi codex habet πιλῶν. ‖ 9. πῶμα] τωμα codex. *operculum ferreum* vertit Livius. ‖ 11. νεῦον] sic codex. νεύοντα Müllerus. — ὁπότε] οτε codex. ‖ 12. ἐγγίσαιεν] εἰ ὡς ἂν ὲ ponit codex, videlicet ex scriptura unciali ΕΓΓΙΣ = ΕΙΤΙΣ. ‖ 14. ταῖς σαρίσαις] ταισαρισας codex. — ἑάσωσι] sic codex. ἐάσιοι Müllerus. ‖ 15. λαβόντας] λαβόντις codex. — ἀσκὸν] χαλκον codex. De hoc folle, quo utuntur fabri, confer Apollodori Poliorcetica (p. 152, l. 2 ed. nostræ). ‖ 17. τῷ πρὸς τῷ στόματι πυρὶ] sic codex. τὸ πρὸς τῷ στόματι πῦρ Müllerus.

τοσοῦτον ἐπαγομένους ἀεὶ τὸν αὐλὸν ὑπὸς, καθόσον ἂν ὑπκάπτωι τὰ πλάγια. Γενομένων δὲ πάντων καθ' ἃ προείρηται, τό τε πλῆθος τοῦ καπνοῦ συνέβαινε πολὺ γενέσθαι, καὶ τῇ ἀριμύτητι διαφέρειν διὰ τὴν φύσιν τῶν πίλων, φέρεσθαί τε πᾶν εἰς τὸ τῶν πολεμίων μέταλλον· ὥστε καὶ λίαν κακοπαθεῖν καὶ δυσχρηστεῖσθαι τοὺς Ῥωμαίους, ὅτε κωλύειν ὅτε ὑπομένειν δυναμένους ἐν τοῖς ὀρύγμασι τὸν καπνόν. Τοιαύτην δὲ λαμβανούσης τελὴν τῆς πολιορκίας, ὁ στρατηγὸς τῶν Αἰπωλῶν πρεσβεύειν ἔγνω πρὸς τὸν στρατηγὸν τῶν Ῥωμαίων.

2. τὰ πλάγια] sic codex. τὰ πίλα Müllerus. ‖ 3. διαφέρειν] sic codex. διαφέρον Müllerus. ‖ 4. πίλων] πιλῶν codex. Cf. pag. 331, l. 8, not ed. nostræ.

ΕΚ ΤΩΝ ΘΩΚΥΔΙΔΟΥ.

Πολιορκία Πλαταιέων.

Τοσαῦτα ἐπιθειάσας καθίστη ἐς πόλεμον τὸν στρατὸν, καὶ τοῦτον μὲν περιεσάωσεν αὐτοὺς τοῖς ἐνδρεσιν ἃ ἔκοψαν, τὸ μηδένα ἐπεξιέναι· ἔπειτα χῶμα ἔχουν πρὸς τὴν πόλιν, ἐλπίζοντες ταχίστην αἵρεσιν ἔσεσθαι αὐτῶν στρατεύματος τοσούτου ἐργαζομένου· ξύλα μὲν ἦν τέμνοντες ἐκ τοῦ Κιθαιρῶνος παρῳκοδόμουν ἑκατέρωθεν, φορμηδὸν αἰεὶ τοίχων ἱστάντες, ὅπως μὴ διαχέοιτο ἐπὶ πολὺ τὸ χῶμα. Ἐφόρουν δὲ ὕλην ἐς αὐτὸ καὶ λίθους καὶ γῆν καὶ εἴ τι ἄλλο ἀνύτειν μέλλοι ἐμβαλλόμενον. Ἡμέρας δὲ ἔχουν ἑβδομήκοντα καὶ νύκτας ξυνεχῶς, διῃρημένοι κατὰ ἀναπαύλας, ὥστε τοὺς μὲν φέρειν, τοὺς δὲ ὑπνοῦν τε καὶ σῖτον αἱρεῖσθαι· Λακεδαιμονίων τε οἱ ξεναγοὶ ἁπάσης πόλεως ἐφεστῶτες ἠνάγκαζον εἰς τὸ

Ms. fol. 109 r°.

Titulus Ἐκ τῶν Θωκυδίδου (sic codex pro Θευκυδίδου) πολιορκία Πλαταιέων litteris uncialibus in codice exaratus est. Haec Thucydidea discrepant aliquantum ab editis quæ leguntur in Thucydid. l. II, c. LXXV sqq. Codex pervetustus aliquot lectiones affert novas ac notatu dignas, quæ sunt hucusque ineditæ. Collatio facta est cum editione Godofredi Bœhme (Lipsiæ, sumptibus et typis B. G. Teubneri, M DCCC LV). ‖ 3. ἐπιξιέναι] sic codex. ἔπ ἐξιέναι edd. Nam ΕΠ = ΕΤΙ in scriptura unciali. — ἔπειτα] επιπο ponit codex, scilicet ἐπὶ τὸ χῶμα. ‖ 4. στρατεύματος τοσούτου] στρατευματοσουτου codex. ‖ 5. Κιθαιρῶνος] κ V· θαιρωνος ponit codex. Forte fuit scriptum in prototypo exemplari ΚΥΘΑΙΡΩΝΟC. ‖ 7. ὕλην] ὕλη codex. ‖ 8. ἀνύτειν] ανυτειν codex. — ἔχουν] ἔχουσιν codex. Error fluxisse videtur ex lingua vulgari apud Græcos, in qua ἔχουν = ἔχοισιν. Unde conjicere licet utramque formam apud Byzantinos exstitisse, nono post Christum natum sæculo. ‖ 9. κατὰ ἀναπαύλας] sic codex. κατ' ἀναπαύλας edd. ‖ 10. ὑπνοῦν] scripsi ex υπνουν, quæ lectio codicis ad verbum ὑπνόω-ῶ referenda videtur. ὕπνον substantive ponunt edita, in quibus legitur ὕπνον τε καὶ σῖτον αἱρεῖσθαι. — αἱρεῖσθαι] αιρεσθαι codex. ‖ 11. ἐφεστῶτες] codex. ξυνεφεστῶτες habent edita. — εἰς] codex. ἐς ponunt edd.

ἔργον. Οἱ δὲ Πλαταιεῖς, ὁρῶντες τὸ χῶμα αἰρόμενον, ξύλινον τεῖχος συνθέντες καὶ ἐπιστήσαντες τῷ ἑαυτῶν τείχει ᾗ προσεχοῦτο, ἐσῳκοδόμουν ἐς αὐτὸ πλίνθους τῶν ἐγγὺς οἰκιῶν καθαιροῦντες· ξύνδεσμος δὲ ἦν αὐτοῖς τὰ ξύλα, τοῦ μὴ ὑψηλὸν γινόμενον ἀσθενὲς εἶναι τὸ οἰκοδόμημα· καὶ προκαλύμματα εἶχε δέρρεις καὶ διφθέρας, ὥστε τοὺς ἐργαζομένους καὶ τὰ ξύλα μήτε πυρφόροις βάλλεσθαι ἐν ἀσφαλείᾳ τε εἶναι· ᾔρετο δὲ τὸ ὕψος τοῦ τείχους, καὶ τὸ χῶμα οὐ σχολαίτερον ἀντανήει αὐτῷ. Καὶ οἱ Πλαταιεῖς τοιόνδε τι ἐπινοοῦσιν· διελόντες τοῦ τείχους ᾗ προσήπτετο χῶμα ἐσεφόρουν τὴν γῆν. Οἱ δὲ Πελοποννήσιοι αἰσθόμενοι ἐν ταρσοῖς καλάμων πηλῷ ἐνείλοντες ἐσέβαλον εἰς τὸ διῃρημένον, ὅπως μὴ διαχεόμενον ὥσπερ ἡ γῆ φοροῖτο.

Οἱ δὲ ταύτῃ ἀποκλειόμενοι τοῦτο μὲν ἐπέσχον, ὑπόνομον δὲ ἐκ τῆς πόλεως ὤρυξάν τε καὶ ξυντεκμηράμενοι ὑπὸ χῶμα

1. Πλαταιεῖς] codex. Πλαταιῆς edd. ‖ 2. συνθέντες] codex. ξυνθέντες edd. ‖ 3. πλίνθους] πληνθους codex, qui etiam in Apollodori Poliorceticis ponit constanter πληνθος, πληνθινος. (Cf. p. 148, l. 1 not. ed. nostræ.) — τῶν ἐγγὺς] sic codex. ἐκ τῶν ἐγγὺς edd. ‖ 4. δὲ ἦν] codex. δ' ἦν edd. — τοῦ] τὸ codex. — γινόμενον] sic codex. γιγνόμενον edd. ‖ 6. πυρφόροις] sic simpliciter codex. πυρφόροις ὀϊστοῖς ponunt edita. Conjici potest vocabulum ὀϊστοῖς a scholiasta quodam illatum esse, ut intelligeretur quidnam essent τὰ πυρφόρα. ‖ 7. ᾔρετο] sic simpliciter codex. ᾔρετο... μέγα ponunt edita, sed vox μέγα redundat. ‖ 8. ἀντανήει] ἀντανειη codex. — Πλαταιεῖς] codex. Πλαταιῆς edd. ‖ 9. προσήπτετο χῶμα] sic codex. προσέπιπτε τὸ χῶμα ponunt edita. Sed melior lectio codicis. ‖ 10. ἐσεφόρουν] εσφορουν codex. ‖ 11. καλάμων] sic codex. καλάμου edd. — πηλῷ] πηλω codex. πηλὸν edd. — ἐνείλοντες] scripsi ex conjectura pro vulgato ἐνείλλοντες, quia ponit codex ενιδοντες, unde videtur in textu unciali scriptum fuisse ΕΝΕΙΛΟΝΤΕϹ vel ex iotacismo ΕΝΙΛΟΝΤΕϹ, ubi Λ cum Δ confusum. Ceterum εἴλω = εἴλλω = εἰλέω. — ἐσέβαλον εἰς] sic codex. ἐσέβαλλον ἐς ponunt edita. ‖ 13. ἀποκλειόμενοι] codex. ἀποκληόμενοι edd. ‖ 13-14. δὲ ἐκ] codex. δ' ἐκ edd. — ὤρυξάν τε καὶ] sic codex. ὀρύξαντες καὶ ponunt edita. Sed elegantior lectio codicis. — ὑπὸ χῶμα] sic codex. ὑπὸ τὸ χῶμα ponunt edita.

ὑφεῖλκον αὖθις παρὰ σφᾶς τὸν χοῦν, καὶ ἐλάνθανον ἐπὶ πολὺ τοὺς ἔξω, ὥστε ἐπιβάλλοντας ἧσσον ἀνύτειν ὑπαγομένου αὐτοῖς κάτωθεν τοῦ χώματος καὶ ἰζάνοντος ἀεὶ ἐπὶ τὸ κενούμενον. Δεδιότες δὲ μὴ οὐδὲ οὕτως δύναιντο ὀλίγοι πρὸς πολλοὺς ἀντέχειν, προσεπεξεῦρον τόδε· τὸ μὲν μέγα οἰκοδόμημα ἐπαύσαντο ἐργαζόμενοι τὸ κατὰ τὸ χῶμα, ἔνθεν δὲ καὶ ἔνθεν αὐτοῦ ἀρξάμενοι ἀπὸ τοῦ βραχέως τείχους ἐκ τοῦ ἐντὸς μηνοειδὲς ἐς τὴν πόλιν ἐσῳκοδόμουν, ὅπως εἰ τὸ μέγα τεῖχος ἁλίσκοιτο, τοῦτο ἀντέχοι καὶ δέοι τοὺς ἐναντίους αὖθις πρὸς αὐτὸ χοῦν καὶ προχωροῦντας εἴσω διπλάσιόν τε πόνον ἔχειν καὶ ἐν ἀμφιβόλῳ μᾶλλον γίγνεσθαι. Ἅμα δὲ τῇ χώσει καὶ μηχανὰς προσῆγον τῇ πόλει οἱ Πελοποννήσιοι, μίαν μὲν ἢ τοῦ μεγάλου οἰκοδομήματος κατὰ τὸ χῶμα προσαχθεῖσα ἐπὶ μέγα κατέσεισε καὶ τοὺς Πλαταιᾶς ἐφόβησεν· ἄλλας δὲ ἄλλῃ τοῦ τείχους ἐς βρόχους τε περιβάλλοντες ἀνέκλων οἱ Πλαταιεῖς, καὶ δοκοὺς μεγάλας ἀρτήσαντες ἀλύσεσι μακραῖς σιδηραῖς ἀπὸ τῆς τομῆς ἑκατέρωθεν ἀπὸ κεραιῶν δύο ἐπικεκλιμένων καὶ ὑπερτεινουσῶν ὑπὲρ τοῦ τείχους, ἀνελκύσαντες ἐγκαρσίας, ὁπότε προσπεσεῖσθαι πῃ μέλλοι ἡ μηχανὴ, ἀφίεσαν τὴν δοκὸν χαλαραῖς ταῖς ἀλύ-

Ms. fol. 103 r°

2. ὥστε ἐπιβάλλοντας] codex. ωστ' ἐπιβάλλοντας edd. — ἧσσον ἀνύτειν] ησον ανοιγειν codex. Confusio orta est ex similitudine litterarum Γ = Τ in scriptura unciali et ex iotacismo quo Υ = ΟΙ. ‖ 4. οὐδὲ οὕτως] codex. οὐδ' οὕτω edd. — δύναιντο] sic codex. δύνωνται ponunt edita. ‖ 6. βραχέως] codex. βραχέος edd. ‖ 7. ἐσῳκοδόμουν] sic codex. προσῳκοδόμουν ponunt edita. ‖ 8. τοῦτο ἀντέχοι] τοῦτο ἀντεχει codex. τοῦτ' ἀντέχοι edd. ‖ 12-13. μέγα κατέσεισε] codex. μέγα τε κατέσεισε edd. ‖ 13. Πλαταιᾶς] codex. Πλαταιέας edd. — ἄλλας] αλλα codex. ‖ 14. ἐς βρόχους] sic codex. ἃς βρόχους ponunt edita. — Πλαταιεῖς] codex. Πλαταιῆς edd. ‖ 15. ἀρτήσαντες αρτυσαντες codex. — ἀλύσεσι] sic codex cum spiritu leni. ἁλύσεσι cum spiritu aspero ponunt edd. ‖ 18. χαλαραῖς ταῖς] χαλαρακταις codex.

σεσι καὶ οὐ διὰ χειρὸς ἔχοντες. Ἡ δὲ ῥύμη ἐμπίπτουσα ἀπεκαύλιζε τὸ προέχον τῆς ἐμβολῆς. Μετὰ δὲ τοῦτο οἱ Πελοποννήσιοι, ὡς αἵ τε μηχαναὶ οὐδὲν ὠφέλουν καὶ τῷ χώματι τὸ ἀντιτείχισμα ἐγίγνετο, νομίσαντες ἄπορον εἶναι ἀπὸ τῶν παρόντων δεινῶν ἑλεῖν τὴν πόλιν, πρὸς τὴν περιτείχισιν παρεσκευάζοντο· πρότερον δὲ πυρὶ ἔδοξεν αὐτοῖς πειρᾶσαι εἰ δύναιντο πνεύματος γενομένου ἐπιφλέξαι τὴν πόλιν οὖσαν οὐ μεγάλην· πᾶσαν γὰρ δὴ εἰδέαν ἐπενόουν εἴ πως σφίσιν ἄνευ δαπάνης καὶ πολιορκίας προσαχθείη· φοροῦντες δὲ ὕλης φακέλλους παρέβαλλον ἀπὸ τοῦ χώματος ἐς τὸ μεταξὺ πρῶτον τοῦ τείχους καὶ τῆς προσχώσεως· ταχὺ δὲ πλήρους γενομένου διὰ πολυχειρίαν, παρανήσαντες καὶ τῆς ἄλλης πόλεως ὅσον ἐδύναντο ἀπὸ τοῦ μετεώρου πλεῖστον ἐπισχεῖν, ἐμβαλόντες δὲ πῦρ ξὺν θείῳ καὶ πίσσῃ ἧψαν τὴν ὕλην. Καὶ ἐγένετο φλὸξ τοσαύτη ὅσην οὐδείς που ἔς γε ἐκεῖνον τὸν χρόνον χειροποίητον εἶδεν· ἤδη γὰρ ἐν ὄρεσιν ὕλη τριφθεῖσα ὑπ' ἀνέμων πρὸς αὐτὴν ἀπὸ τοῦ αὐτομάτου πῦρ καὶ φλόγα ἀπ' αὐτοῦ ἀνῆκε· τοῦτο δὲ μέγα ἦν, καὶ τοὺς Πλαταιᾶς τἄλλα διαφυγόντας ἐλαχίστου ἐδέησε διαφθεῖραι· ἐντὸς γὰρ πολλοῦ χωρίου τῆς πόλεως οὐκ ἦν πελάσαι, πνεῦμά τε εἰ ἐπεγένετο αὐτῇ ἐπίφορον, ὅπερ καὶ ἤλπιζον οἱ ἐναντίοι, οὐκ ἂν διέφυγον. Νῦν δὲ καὶ τόδε λέγεται ξυμβῆναι· ὕδωρ πολὺ

7. εἰδέαν] sic codex. ἰδέαν ponunt edita. || 11. παρανήσαντες] π. ρενησαντες codex. ἐπιπαρένησαν ponunt edita. || 13. ἧψαν] ἤψαν codex. || 14. που] sic codex. πω edd. — γε ἐκεῖνον] codex. γ' ἐκεῖνον edd. — εἶδεν] ειδε codex. || 16. τοῦ αὐτομάτου] codex. ταὐτομάτου edd. || 16-17. μέγα ἦν] codex. μέγα τε ἦν edd. || 17. Πλαταιᾶς] sic codex. Πλαταιέας edd. — ἐλαχίστου ἐδέησε] ελαχιστουσδεησαι ponit codex, ubi error fluxit ex confusione litterarum Є et C in scriptura unciali, unde ΤΟΥΕΔΕ = ΤΟΥCΔΕ. || 20. ὕδωρ πολὺ] sic simpliciter codex. ὕδωρ ἐξ οὐρανοῦ πολὺ ponunt edita, ubi verba ἐξ οὐρανοῦ mihi videntur ex scholiis in textum illata fuisse.

καὶ βροντὰς γενομένας σβέσαι τὴν φλόγα καὶ οὕτω παυθῆναι τὸν κίνδυνον. Οἱ δὲ Πελοποννήσιοι, ἐπειδὴ καὶ τούτου διήμαρτον, μέρος μὲν καταλιπόντες τοῦ στρατοῦ, τὸ δὲ πλέον ἀφέντες, περιετείχιζον τὴν πόλιν κύκλῳ, διελόμενοι κατὰ πόλεις τὸ χωρίον· τάφρος δὲ ἐντός τε ἦν καὶ ἔξωθεν, ἐξ ἧς ἐπλινθεύσαντο. Καὶ ἐπειδὴ πᾶν ἐξείργαστο περὶ ἀρκτούρου ἐπιτολὰς, καταλιπόντες φυλακὰς τοῦ ἡμίσεως τείχους (τὸ δὲ ἥμισυ Βοιωτοὶ ἐφύλασσον) ἀνεχώρησαν τῷ στρατῷ καὶ διελύθησαν κατὰ πόλεις. Τοιαύτη μὲν ἡ Πλαταιῶν πολιορκία κατεσκευάσθη.

2-3. μέρος μὲν] codex. μέρος μέν τι edd. ‖ 3. στρατοῦ] sic codex. στρατοπέδου ponunt edita. — Verba τὸ δὲ πλέον ἀφέντες, quae uncis inclusa sunt in editione Didotiana, praebet codex prima manu in textu ipso exarata. τὸ δὲ λοιπὸν ἀφέντες ponit Bœhme. ‖ 4. διελόμενοι κατὰ πόλεις] διελομ. . . . . τα habet codex, quippe in quo aliquot litteræ evanuerint. ‖ 5. ἐπλινθεύσαντο] επληνθευσαντο codex (cf. p. 334, l. 3 not. ed. nostræ). ‖ 5-6. ἐξειργαστο] εξηρταστο ponit codex, videlicet ex iotacismo quo ЄΙ = Η, et ex confusione litterarum uncialium Γ = Τ. — φυλακὰς] φύλακας edd. ‖ 6-7. ἡμίσεως] sic codex. ἡμίσεος edd. ‖ 8. Post verba κατὰ πόλεις, legitur in editis : Πλαταιῆς δὲ παῖδας μὲν καὶ γυναῖκας καὶ τοὺς πρεσβυτάτους τε καὶ πλῆθος τὸ ἀχρεῖον (ἄχρηστον Bœhme) τῶν ἀνθρώπων πρότερον ἐκκεκομισμένοι ἦσαν ἐς τὰς Ἀθήνας, αὐτοὶ δ' ἐπολιορκοῦντο ἐγκαταλελειμμένοι τετρακόσιοι, Ἀθηναίων δὲ ὀγδοήκοντα, γυναῖκες δὲ δέκα καὶ ἑκατὸν σιτοποιοί. Τοσοῦτοι ἦσαν οἱ ξύμπαντες ὅτε ἐς τὴν πολιορκίαν καθίσταντο, καὶ ἄλλος οὐδεὶς ἦν ἐν τῷ τείχει οὔτε δοῦλος οὔτε ἐλεύθερος. Τοιαύτη μὲν ἡ Πλαταιῶν πολιορκία κατεσκευάσθη.

ΕΚ ΤΩΝ ΙΩΣΗΠΟΥ.

Ἰωταπάτης ἅλωσις.

. . . . . μέγεθος ἐκ τῶν πετροβόλων ἐβάλλοντο πῦρ τε καὶ πλῆθος ἀθρόον ὀϊστῶν, ἅπερ οὐ μόνον τὸ τεῖχος ἀνεπίβατον τοῖς Ἰουδαίοις ἐποίησεν, ἀλλὰ καὶ τῆς ἐντὸς οὔσης ἐφικνεῖτο χώρας. Καὶ γὰρ τὸ τῶν Ἀράβων τοξοτῶν πλῆθος ἀκοντισταὶ καὶ σφενδονῆται πάντες ἅμα τοῖς μηχανήμασιν ἔβαλλον. Οὐ μὴν εἰργόμενοι τῆς καθ' ὕπερθεν ἀμύνης ἠρέμουν· ἐκτρέχοντες γὰρ λῃστρικώτερον κατὰ λόχους περιέσπων τε τῶν ἐργαζομένων τὰς σκέπας καὶ τοὺς γυμνουμένους ἔπαιον· καὶ καθ' ὃ παρείκοιεν ἐκεῖνοι διερρίπτουν τε τὸ χῶμα καὶ τὰ χαρακώματα σὺν τοῖς ἔργοις ἐνεπίμπρασαν, μέχρι συνεὶς Οὐεσπασιανὸς τὴν διαίρεσιν τῶν ἔργων

Ms fol. 16 r°

Titulum Ἐκ τῶν Ἰωσήπου Ἰωταπάτης ἅλωσις ex conjectura restitui. Nullus enim in codice titulus occurrit, quippe quum fragmentum initio atque fine hodie mutilum sit, atque uno tantum folio contineatur (folio olim $\overline{\alpha}$, nunc vero 16 recto et verso). Quod folium quum unice superesset, temere a compactore libri post quædam ex oratione Joannis Chrysostomi Περὶ Ἱερωσύνης excerpta positum est. Fragmentum ipsum pertinet ad Josephi *Bellum Judaïcum*, lib. III, cap. VII, 9, 10, 11, 12, 13. Agitur ibi de obsidione urbis Jotapata. Collationem institui cum editione Didotiana a G. Dindorfio confecta. ‖ 1. . . . . μέγεθος] initium sententiæ desideratur, quæ in editis ita se habet : Οὐεσπασιανὸς δὲ ἐν κύκλῳ τὰς ἀφετηρίους μηχανὰς ἐπιστήσας (τὰ πάντα δὲ ἦν ἑκατὸν ἑξήκοντα ὄργανα) βάλλειν ἐκέλευσε τοὺς ἐπὶ τοῦ τείχους· ὁμοῦ δὲ οἱ τε καταπέλται τὰς λόγχας ἀνερροίζουν καὶ ταλαντιαῖοι λίθοι μέγεθος κ. τ. λ. ‖ 2. ἀθρόον] sic codex. ἀθρόων edd. — ἅπερ οὐ μόνον] ἀπερουμενον codex. ‖ 3. τῆς ἐντὸς οὔσης ἐφικνεῖτο χώρας] την εντοσοσησεφικνειτοχωραν ponit codex, unde forte legendum est τὴν ἐντὸς οὖσαν ἐφικνεῖτο χώραν. ‖ 4. ἀκοντισταὶ καὶ] ἀκοντισταί τε καὶ ponunt edita. τε om. codex. ‖ 6. τῆς καθ' ὕπερθεν ἀμύνης] ταῖς καθ' ὕπερθεν αμυναις ponit codex. καθύπερθεν uno verbo edd. ‖ 7. τε] om. edd. ‖ 9. ἔργοις] sic codex. γέρροις ponunt edita. ‖ 10. συνεὶς] συνεῖς codex.

αἰτίαν εἶναι τῆς βλάβης (τὰ γὰρ διασήματα τοῖς Ἰουδαίοις προβολῆς παρέχειν τόπον) ἐνοῖ τὰ σκεπάσματα· καὶ συναφθείσης ἅμα αὐτοῖς τῆς δυνάμεως, ἀνείρχθησαν αἱ τῶν Ἰουδαίων παραδύσεις. Ἐγειρομένῳ δὲ τῷ χώματος ἤδη καὶ ταῖς ἐπάλξεσιν ὅσον ὕπω πλησιάζοντος, δεινὸν ὁ Ἰώσηπος νομίσας εἰ μηδὲν ἀντιμηχανήσαιτο τῇ πόλει σωτήριον, συναγείρει τέκτονας, καὶ τὸ τεῖχος ἐκέλευσεν ὑψοῦ· τῶν δ' ἀδύνατον εἶναι φαμένων οἰκοδομεῖν τοσούτοις βέλεσι βαλλομένους, σκέπην αὐτοῖς ἐπινοεῖ τοιάνδε· δρυφάκτους πήξασθαι κελεύσας ἐπετάσαι τε βύρσας βοῶν, ὡς ἂν δέχοιντο μὲν τοὺς ἀπὸ τῶν πετροβόλων λίθους κολπούμεναι, περιολισθάνοι δ' ἀπ' αὐτῶν τὰ λοιπὰ βέλη καὶ τὸ πῦρ ὑπὸ τῆς ἰκμάδος εἴργοιτο, προσανίσησι τῶν τεκτόνων· ὑφ' οἷς ἀσφαλῶς ἐργαζόμενοι δι' ἡμέρας τε καὶ νυκτὸς, τὸ τεῖχος ἤγειραν ἐς εἴκοσι πήχεις τὸ ὕψος, καὶ συχνοὺς μὲν πύργους ἐνῳκοδόμησαν αὐτῷ καρτεράν τε ἔπαλξιν ἐφηρμόσαντο. Τοῦτο τοῖς Ῥωμαίοις ἤδη τῆς πόλεως ἐντὸς οἰομένοις εἶναι πολλὴν ἐποίησεν ἀθυμίαν, καὶ πρός τε τὴν ἐπίνοιαν τοῦ Ἰωσήπου καὶ τὸ παράσημα τῶν ἐπὶ τῆς πόλεως κατεπλάγησαν. Οὐεσπασιανὸς δὲ καὶ πρὸς τὸ πανοῦργον τοῦ στρα-

2. παρέχειν] sic codex. παρεῖχε ponunt edita. — τόπον] το παν codex. — τὰ σκεπάσματα] sic codex. τὰς σκέπας edd. ‖ 3. αὐτοῖς] sic codex. αὐταῖς edd. ‖ 4. παραδύσεις] παραλυσεις codex. Varietas lectionis ex similitudine litterarum Λ = Δ orta est. ‖ 7. ὑψοῦ] scilicet αἴρειν. Sic codex. ὑψοῦν ponunt edita. — τῶν δ' ἀδύνατον] codex. τῶν δὲ αδύνατον edd. ‖ 9. ἐπιπτάσαι] sic codex more epigraphico. ἐμπτάσαι edd. — βύρσας βοῶν] post βύρσας inserunt πεδόρους edita, sed omittit codex. ‖ 10-11. περιολισθάνοι δ' ἀπ' αὐτῶν] περιολισθαι. οι δ' απ' αυτων ponit codex. Confusio orta e scriptura unciali, in qua vocabula non distinguuntur. δὲ ἀπ' αὐτῶν edd. ‖ 12. εἴργοιτο] ιργοιτο codex. — ὑφ' οἷς] sic codex. ἐφ' οἷς ponunt edita. ‖ 13. ἐς] codex. εις edd. ‖ 15. ἐφηρμόσαντο] codex. εφημόσαντο errore typographico habent edita. ‖ 15-16. ἤδη τῆς πόλεως ἐντὸς] sic codex. ἐντὸς ἤδη τῆς πόλεως ponunt edita.

τηγήματος καὶ πρὸς τὰς τόλμας παροξύνετο τῶν Ἰωταπατηνῶν· πάλιν γὰρ ἀναθαρρήσαντες ἐπὶ τῷ τειχισμῷ τοῖς Ῥωμαίοις ἐπεξέθεον, καὶ καθ' ἡμέραν ἐγίνοντο συμπλοκαὶ κατὰ λόχους, ἐπίνοιά τε ληστρικὴ πᾶσα καὶ τῶν προτυχόντων ἁρπαγαὶ καὶ τῶν ἄλλων ἔργων πυρπολήσεις· ἕως Οὐεσπασιανὸς, ἀναπαύσας τὴν στρατείαν μάχης, ἐνδείᾳ τῶν ἐπιτηδείων αἱρεῖν ἔγνω· ἢ γὰρ ἀναγκαζομένους ταῖς ἀπορίαις ἱκετεύειν αὐτὸν, ἢ μέχρι παντὸς ἀπαυθαδισαμένους διαφθαρήσεσθαι λιμῷ, πολύ τε ῥᾴοσιν αὐτοῖς ἠξίου χρήσασθαι κατὰ τὴν μάχην, εἰ διαλείπων αὖθις ἐκτετρυμμένους ἐπιπέσοι· φρουρεῖν δὴ πάσας αὐτῶν ἐκέλευσε τὰς ἐξόδους. Τοῖς δὲ σίτου μὲν ἦν πλῆθος ἔνδον καὶ τῶν ἄλλων πλὴν ἁλὸς ἁπάντων, ἔνδεια δὲ ὕδατος, ὡσὰν πηγῆς μὲν οὐκ οὔσης κατὰ τὴν πόλιν, τῷ δ' ὀμβρίῳ διαρκουμένων τῶν ἐν αὐτῇ. Σπάνιον δὲ εἴ ποτε τὸ κλίμα θέρους ὕεται. Καὶ κατ' αὐτὴν τὴν ὥραν πολιορκουμένων ἀθυμία δεινὴ πρὸς τὴν τοῦ δίψους ἐπίνοιαν ἦν, ἤσχαλλόν τε ὡς ἤδη καθάπαν ἐπιλελοιπότος τοῦ ὕδατος· ὁ γὰρ Ἰώσηπος τήν τε

M. fol. 16 v°

2. ἀναθαρρήσαντες] sic codex. ἀναθαρσήσαντες edd. ‖ 3. ἐγίνοντο] ἐγείνοντο codex. ‖ 3-4. ἐπίνοια] ἐπινοία codex. ‖ 6. στρατείαν] codex. στρατιὰν edd. — ἐνδείᾳ τῶν ἐπιτηδείων αἱρεῖν ἔγνω] sic codex. Diversa leguntur in editis, ubi διέγνω προσκαθεζόμενος σπάνει τῶν ἐπιτηδείων αἱρεῖν τὴν πόλιν. ‖ 6-7. ἢ γὰρ ἀναγκαζομένους] η παραναγκαζομενους codex. ‖ 7. ταῖς ἀπορίαις] sic codex. ἀπορίᾳ τῶν ἀναγκαίων ponunt edita. — ἱκετεύειν] codex. ἱκετεύσειν edd. — αὐτὸν] τον codex. ‖ 8. ῥᾴοσιν] ραῶσιν codex. ‖ 9. ἠξίου χρήσασθαι] sic codex. χρήσεσθαι ἠξίου ponunt edita. — διαλείπων] codex. διαλιπὼν edd. ‖ 9-10. ἐκτετρυμμένους] sic codex. ἐκτετρυχωμενους ponunt edita. ‖ 11. ἁλὸς] αλλος codex. ‖ 13. δ' ὀμβρίῳ] codex. δὲ ὀμβρίῳ edd. — δὲ εἰ] δε ϊ ponit codex, videlicet ex iotacismo quem etiam in inscriptionibus deprehendimus. ‖ 13-14. τὸ κλίμα] τὸ κλίμα τοῦτο ponunt edita, ubi τοῦτο redundat. ‖ 14. ὕεται] ϋετε codex. — κατ' αὐτὴν] sic codex. κατὰ ταύτην ponunt edita. ‖ 15. ἤσχαλλον] ησχαλλεν codex correctum prima manu in ησχαλλον. ‖ 16. καθάπαν ἐπιλελοιπότος] sic codex. ἐπιλελοιπότος καθάπαν edd. — τοῦ] om. edd.

πόλιν ὁρῶν τῶν ἄλλων ἐπιτηδείων εὔπορον καὶ τὰ φρονήματα γενναῖα τῶν ἀνδρῶν, βουλόμενός τε παρ' ἐλπίδα τοῖς Ῥωμαίοις τὴν πολιορκίαν ἔσεσθαι, μέτρῳ πότον αὐτοῖς διένεμεν· οἱ δὲ τὸ ταμιεύεσθαι χαλεπώτερον ἐνδείας ὑπελάμβανον, καὶ τὸ μὴ αὐτεξούσιον αὐτῶν πλέον ἐκίνει τὴν ὄρεξιν, καὶ καθάπερ εἰς ἔσχατον ἤδη δίψους προήκοντες ἀπέκαμον. Διακείμενοι δ' οὕτως οὐκ ἐλάνθανον τοὺς Ῥωμαίους· ἀπὸ γὰρ τοῦ κατάντους ἑώρων αὐτοὺς ὑπὲρ τὸ τεῖχος ἐφ' ἕνα συρρέοντας τόπον καὶ μετρουμένους τὸ ὕδωρ· ἐφ' ὧν καὶ τοῖς ὀξυβελέσιν ἐξικνούμενοι πολλοὺς ἀνῄρουν. Καὶ Οὐεσπασιανὸς μὲν, οὐκ εἰς μακρὰν τῶν ἐκδοχείων κενωθέντων, ἤλπιζεν ὑπὸ τῆς ἀναγκῆς αὐτῷ παραδοθήσεσθαι τὴν πόλιν. Ὁ δ' Ἰώσηπος, κλάσαι τὴν ἐλπίδα ταύτην αὐτῷ προαιρούμενος, ἐμβρέξαι κελεύει πλείστους τὰ ἱμάτια καὶ κατακρημνῆσαι περὶ τὰς ἐπάλξεις πᾶν ἐξαπίνης. . . . . .

2-3. βουλόμενός τε παρ' ἐλπίδα τοῖς Ῥωμαίοις τὴν πολιορκίαν ἔσεσθαι] sic codex. βουλόμενός τε Ῥωμαίοις παρ' ἐλπίδα ἐκτεῖναι τὴν πολιορκίαν ponunt edita. ‖ 3. πότον] τόπον codex. τὸ πότον edd. ‖ 6. ἀπέκαμον] sic codex. ἀπέκαμνον ponunt edita. — δ' οὕτως] sic codex. δὲ οὕτως edd. ‖ 7. ἑώρων] ἑώρουν codex. ἑώρον edd. ‖ 9. ἐφ' ὧν] sic codex. ἐφ' ὃν edd. ‖ 10. ἐκδοχείων] ἐκδοχίων codex. ‖ 11-12. ὁ δ' Ἰώσηπος κλάσαι] ὁ δ' ἴσως ἢ προσκλάσαι ponit codex. ὁ δὲ Ἰώσηπος κλ. edd. ‖ 13. κατακρημνῆσαι] sic codex. κατακρεμάσαι ponunt edita. ‖ 14. ἐξαπίνης] ἐξαπεινης codex. — Hic desinit pars fragmenti quæ, uno folio constans, hodie in codice superest. Fragmentum vero, quum adhuc integrum esset, videtur multo longius fuisse; conjici enim potest incepisse illud a verbis Ἔστι δὲ Ἰωταπάτη πλὴν ὀλίγου πᾶσα κρῆμνος (cap. VII, n. 7) atque desiisse in verba Ἰωτάπατα μὲν οὖν οὕτως ἑάλω, τρισκαιδεκάτῳ τῆς Νέρωνος ἡγεμονίας ἔτει, Πανέμου νουμηνίᾳ (cap. VII, n. 36).

ΕΚ ΤΩΝ ΕΥΣΕΒΙΟΥ Β[1] Θ̄.

Πολιορκία Θεσσαλονίκης ὑπὸ Σκυθῶν.

Οἱ δὲ Θεσσαλονικέες ὅτε ἐν τῷ τοιούτῳ ἀδρανέες τινὲς εὑρέθησαν· ἀλλὰ τοῖσι ἑτοίμοισι εὑρισκομένοισι ὁπλισάμενοι συστάντες, τούς τε βιωμένους ἐς στεῖν' ἀπῆρξαν, καὶ ἐν τῇ ταραχῇ αὐτῇ τῶν βαρβάρων τινὰς συναρπάζοισιν, τὸ δὴ πολλοῖς τῶν ἀπὸ τῆς πόλεως ἔξω καθημένοις πρόφασιν τῆς ἀνακομιδῆς παρεχόμενοι. [Οἱ] γὰρ δὴ βάρβαροι, ὑπὲρ τοῦ κομίσασθαι τοὺς σφετέρους, πολλοὺς τῶν εἶχον λαβόντες ἀπέδωσαν. Οὐχ ὅτε ἦσαν φθάντες οἱ βάρβαροι ὥστε τῇ σφετέρῃ στρατιῇ πᾶσαν τὴν πόλιν περιστοιχήσασθαι, καὶ οἱ ἀνὰ τὴν πόλιν οὐδὲν ὑπὸ τοῦ ἀπροσδοκήτου ἀμβλυνθέντες οὐδὲ.....

Μι fol. 163 v°.

Titulus Ἐκ τῶν Εὐσεβίου βι. θ' πολιορκία Θεσσαλονίκης (Θεσσαλωνικῆς codex) ὑπὸ Σκυθῶν litteris uncialibus exaratus in codice præmittitur. Hoc fragmentum ex nono libro Eusebii, quo agitur de urbe Thessalonice a Scythis obsessa, ionica dialecto scriptum est, et dimidia solummodo pagina constat. Olim ex apographo Minæ (Cod. Par. Suppl. Gr. 485) edidit Müllerus (Parisiis, Didot, 1847). Nos ex prototypo exemplari damus. ‖ 1. ἀδρανέες] codex. ἀνδρανέες Müllerus. ‖ 3. ἐς στεῖν' ἀπῆρξαν] εσθειν codex. ἐς στεῖνα conj. Müllerus. ‖ 4. τὸ δὴ] codex. τῷ δὴ conj. Müllerus not. — πολλοῖς] sic codex. πολλοῖσι ex Mina Müllerus. ‖ 5. καθημένοις] restitui ex conjectura. ημενοις habet codex, in quo priores litteræ evanuerunt. κειμένοισι ex Mina Müllerus. — πρόφασιν] sic codex. πρόφασις Müllerus, qui sententias aliter atque ego dividit. Nam legit: τὸ δὴ πολλοῖσι τῶν ἀπὸ τῆς πόλεως ἔξω κειμένοισι πρόφασις τῆς ἀνακομιδῆς· παρεχόμενοι γὰρ οἱ βάρβαροι ὑπὲρ τοῦ κομίσασθαι κ.τ.λ. ‖ 6. οἱ γὰρ δὴ] supplevi. γαρ δὴ, omisso οἱ, codex. γὰρ οἱ ex Mina Müllerus. ‖ 7. εἶχον] sic codex. εἷλον ex Mina Müllerus. — ἀπέδωσαν] sic codex. ἀπέδοσαν ex Mina Müllerus. ‖ 9. καὶ] delendum censet Müllerus. ‖ 10. οὐδὲ] huc adnotavit Minas: Λείπει τὰ ἄλλα. Vide tamen ea quæ sequuntur (p. 343-346 ed. nostræ) folio 17 recto et verso codicis inscripta. Quod folium loco suo motum atque, ut videtur, errore ejus qui compegit librum alio translatum fuit.

ΕΚ ΤΩΝ ΑΝΩΝΥΜΟΥ

Ἰάδι διαλέκτῳ συγγεγραμμένων.

Ineed. — Ms. fol. 17 r°.

.... τὴν ὄψιν αὐτὴν τῶ πολέμω, ὅτε τῶν ἀντιπολεμίων ἀπορρηθῆναι, ἢ ἐς τὰ ἀρήια τοῖς ἐν τοῖς παιδικοῖσι ἀθύρμασι εὐείσκεε ἑωϋτῷ παρεούσης εὐσοχίης καὶ τοξεύσαντα ἐκ ἁμαρτεῖν, κατὰ δὲ τεῖναι ἀνδρὶ πολέμιον· ἢ ἐπὶ τῷ ἔργῳ τούτῳ μεγαλόφρονες ἔμενον τοφθαῖναι ἢ δεύτερον· τῷ γὰρ κεκλημένῳ τῶν πολεμίων λινὸς παρασάντος καὶ τὸ βέλος ἐξιουμένω, τοξεῦσαι αὖτις καὶ τυχόντα ἐπὶ τῷ τοφθέρῳ καὶ τοῦτον κατακτεῖναι· τοῦτο ἰδομένοις τῶ παιδὸς τὸ ἔργον, τοὺς μὲν πολεμίους θώμαπ ἐνέχεσθαι μυελέῳ, τοὺς δὲ πολίπας ἢ ἐπὶ μεῖζον αὐτῶ τῇ τοφθυμίῃ τοφσερχομένους ἐπιχεῖν καὶ ἀναρπάσαι μιν, φόβῳ χομένους μή λινι ἄρα πάλιν κότῳ ἐπὶ παραδόξοις ὅπως ἐκ φθόνω δαίμονος ἐγκυρήσῃ.

Ταῦτα μὲν δὴ ὅπως ἐγίνετο. Πρὸς δὲ τὰ ἐπιφερόμενα ἐκ τῶν μηχανημάτων καὶ πολλὰ ἀντιτεχνησαμένων τῶν ἀπὸ τῶ τείχεος,

Titulum Ἐκ τῶν ἀνωνύμω Ἰάδι διαλέκτῳ συγγεγραμμένων ipse posui. Nam fragmentum, initio ac fine mutilum, sine titulo exstat in codice. Quod quum ionica dialecto scriptum sit, quemadmodum narratio Eusebii de obsidione Thessalonices, atque ad idem argumentum spectet, ad auctorem eumdem est referendum. Hoc fragmentum uno tantum folio codicis comprehensum (folio olim β, nunc 17 recto et verso) hucusque ineditum fuit. Ad fidem codicis dedi, exceptis paucissimis quae infra notabuntur. ‖ 3. οὐκ ἁμαρτεῖν] sic codex more ionico, quasi scribendum esset cum spiritu leni ἁμαρτεῖν. ‖ 6. ἐξιουμένω] sic codex. An legendum ἐξειρυομένω vel ἐξελκομένω? ‖ 9. μεῖζον] μεζον codex. ‖ 12. ἐγκυρήσῃ] ἐγκυρησ η dividit codex. Sed uno verbo legendum. Cf. Herodot. III, LXXVII; IV, CXXV; VII, CCVIII.

τὰ μάλιστα λόγου ἄξια καὶ ἀφηγήσιος ἐπυθόμην γενέσθαι, τουτῶσε Inc.
ταῦτα σημανέω. Τῇ μὲν ὦν ἀπὸ τῶν πυρφόρων βελέων ἐλπιζο-
μένῃ ὠφελίῃ κατὰ πάντων ὁμοίως τῶν μηχανημάτων ἐχρέοντο.
Τὰ δὲ πυρφόρα ταῦτα βέλεα ἦν τοιάδε· ἀντὶ τῆς ἄρδιος τῆς
πρὸς τῷ ἄκρῳ τοῦ ὀϊστοῦ εἶχε ταῦτα τάπερ δὴ μεμηχάνητο ὥστε
τὸ πῦρ αὐτὸ ἐπιφέρειν· ταῦτα δὲ ἦν σιδηρέα, ἔχοντα ἔνερθεν ἐκ
τοῦ πυθμένος κεραίας ἐπεκκεκλιμένας· αἵδε κεραῖαι χωρὶς ἐπ'
ἑωϋτέων ἐλαυνόμεναι ἐπὶ τὰ καμπτόμενα κατὰ κορυφὴν πρὸς
ἀλλήλας ξυνήγοντο· συναφθεισέων δὲ τούτων, ἐς ἄκρον ἀκὶς ἰθείη
καὶ ὀξυτάτη ἀπὸ πασέων ἐξήϊε· τῆσδε δὴ μεμηχανημένης οὕτως
ἔργον ἦν κατοτέω ἀνενειχθείη πρὸς πεπερονημένην μιν ἐνεστάναι·
ταύτης μὲν τῆς ἀκίδος ἔργον ἦν τοῦτο. Τὸ δ' ἐπὶ τῷ πυρὶ σπου-
δαζόμενον ὧδε ἐνηργέετο· καμπτόμεναι αἱ κεραῖαι κόλπον κοῖ- Ms. fol. 17
λον κατὰ τὸν διεστέωσαι ἦσαν ἀπ' ἀλληλέων ἐποίεον, οἷον δὴ καὶ
τῶν οὕτως ἐχουσέων γυναικῶν ἠλακάται [περὶ ἃς] δὴ στρέφεται
τὸ εἴριον ἔξωθεν περιβαλλόμενον, ἀπ' ὧν δὴ τὸν στήμονα κατά-
γοισι· μεταξὺ τούτου τοῦ κόλπου εἴσω στυππίον ἢ καὶ ξύλα λεπτὰ
θείου αὐτοῖσι προσπλασσομένου ἢ καὶ τῷ Μηδείῳ ἐλαίῳ καλεο-
μένῳ αὐτὰ χρίσαντες ἐνετίθεσαν. Τοῦ δ' ὦν ἀτράκτου τοξευομένου

3. ἐχρέοντο] ἐχθρεοντο codex. Sed legendum ἐχρέοντο = ἐχρῶντο ‖ 5. ὀϊστοῦ] conjeci. Ponit ϊστου codex. ‖ 7. ἐπεκκεκλιμένας] conjeci. ἐπεκκεκλημένας ponit codex. — κεραῖαι] κεραια codex. ‖ 7-8. ἐπ' ἑωϋτέων] sic codex more ionico pro ἐφ' ἑαυτῶν. ‖ 11. κατοτεω] sic codex pro κατότεο, quæ est forma ionica pro καθ' ὅτου. ‖ 13. ἐνηργέετο] conjeci. ενηργεε τὸ dividit codex. ‖ 15. περὶ ἃς δὴ στρέφεται] conjeci. Locus corruptus in codice qui Π √· αδης τρεφεται ponit. ‖ 16. εἴριον] ἴριον codex. Nam ἴριον = εἴριον = ἔριον (vid. *Thes. ling. gr.* s. v. Ἔριον). — τὸν] το codex. ‖ 17. στυππίον] correxi. στυπτιον ponit codex, quæ menda etiam in aliis codd. occurrit. (Cf. *Thes. ling. gr.* ed. Hase, vol. VII, p. 913.) ‖ 19. χρίσαντες] emendavi. χρησαντες co-

Ined. ἤτοι ὑπὸ μηχανῆς ἢ καὶ τοξοτέων, τὰ ἐνεχόμενα ὑπὸ τῆς ῥύμης ἐξήφθη τε καὶ ἀφθέντα φλόγας ἐποίεε. Τοιούτοισι μὲν δὴ κατὰ πάντων τῶν μηχανημάτων ἐχρέοντο, καὶ ἀπὸ τούτων πολλῶν ἅμα ἐκπεμπομένων ὠφελείη τις ἐγείνετο· ἀπό γε ὀλίγων ἢ σμικρὴ ἢ οὐκ ὦν δή τις τοσαύτη προσείη· ἢ γὰρ ὑπὸ τῶν βυρσέων εἴργοντο, ἢ καὶ ἀπὸ σβετηρίων πολλῶν μηχανημάτων.

Τόδε δὲ παρὰ [μὲν] Μακεδόνων αὐτῶν οὐκ ἤκουσα, ἐν δ' ἑτέρῃ πολιορκίῃ ἔμαθον ἀντιταχθῆναι πρὸς τὰ πυρφόρα ταῦτα βέλεα, Κελτῶν προσκαθημένων πόλει Τυρρηνῶν καλεομένῃ. Ἔστιν δὲ αὕτη χώρης τῆς Γαλατίης τῶν ἐν τῇ Ἑσπέρῃ κατοικημένων ἔθνεος τοῦ Λουγδονοσίου. Χρόνος (δέκατον ἔτος προσεκατέατο τῇ πολιορκίῃ) ἦν ἐν τῷ δὴ Γαλατίη πᾶσα καὶ τὰ ταύτῃ προσεχέα ἔθνεα ἀρχῇ τῇ Ῥωμαίων οὐ πιθέσκετο, ἀλλὰ ἐπεστήκεε τοῖς ἐὲ παρεστηκόσι [καὶ] συνεφρόνεε. Τότε γὰρ τῶν Κελτῶν τῶν πέρην Ῥήνου ἐπιστρατευσαμένων, μοίρη ἀπὸ τούτων ἀποσχισθεῖσα καὶ προσκαθημένη τῇ πόλει τῇ λελεγμένῃ, καταφλεχθεισέων σφι

dex correctum prima manu in χρεισαντες. — ἐνετίθεσαν] ενετειθεσαν codex. ‖ 2. ἐξήφθη τε] conjeci. εξεφθετο codex. — ἀφθέντα] conjeci. εφαεντα codex. — ἐποίεε] ποιεε codex. ‖ 5-6. εἴργοντο] εργοντο codex. ‖ 6. σβετηρίων] sic codex pro vulgato σβεστήριων. ‖ 7. Τόδε δὲ παρὰ μὲν] τοδε δε παρα δε codex. ‖ 7-8. ἐν δ' ἑτέρῃ] conjeci. εν δε τηρη codex. ‖ 8. ἀντιταχθῆναι] conjeci. αντιτεχθηναι codex. An legendum ἀντιτεχνηθῆναι? ‖ 9. πόλει Τυρρηνῶν] sic codex. Agitur de civitate quæ fuit in Gallia Lugdunensi. ἔθνεος τοῦ Λουγδονοσίου (vid. l. 11). ‖ 10 Γαλατίης] sic legendum ex sequentibus. ταλατιης codex confusione litterarum uncialium Γ = Τ. — τῇ Ἑσπέρῃ] sic legendum. τῆσπερη ponit codex omisso Є initiali secundum pronuntiandi rationem quæ apud Græcos recentiores etiamnum viget, quippe qui ἀποσπέρου vulgo dicant, quod idem est atque ἀπὸ ἑσπέρου. ‖ 10-11. κατοικημένων] sic codex pro κατῳκημένων, more inscriptionum veterum in quibus οι = ῳ. ‖ 14. τοῖς ἐε παρεστηκόσι] conjeci. τοῖσεεπανεστηκοσι ponit codex. — καὶ] supplevi. Omittit codex. ‖ 15. μοίρη] conjeci. μορι √· η codex. — ἀποσχισθεῖσα] sic codex, ubi primum scriptum fuerat ἀποσπασθεῖσα.

πολλέων, μηχανήσασθαι ἐξόπαθεν τῶν μηχανέων· ἔλυτρα ὀρύξαντες, πλέα ὕδατος ταῦτα ἐποίεον· ἔπειτα μολυβδίνους στεγανοὺς ἀγωγοὺς τοὺς ὑποδεξομένους ἐς πα[ρέξοντας τὸ ὕδωρ.....

1. μηχανήσασθαι] videtur subaudiendum ἤρξατο vel ἤρξαντο. ‖ 3. παρέξοντας τ' ὕδωρ] supplevi ex litteris πα quas ponit codex, nam ceteræ desiderantur, quippe quum insigne hoc fragmentum initio ac fine sit mutilum.

ΕΚ ΤΩΝ

ΑΡΙΣΤΟΔΗΜΟΥ.

ΕΚ ΤΩΝ

ΑΡΙΣΤΟΔΗΜΟΥ.

Inest Ms fol. 83 v°

..... αἰτησάμενος γὰρ μίαν ἡμέραν μόνην ἔπεμψε κρύφα Σίκινον τὸν ἑαυτῦ παιδαγωγὸν πρὸς Ξέρξην, ἐγκελευσάμενος αὐτῷ ἐπιθέσθαι τοῖς Ἕλλησιν ὡς ναυμαχεῖν, δηλῶν τὸν μέλλοντα δρασμὸν ἀπὸ Σαλαμῖνος. Ὁ δὲ Ξέρξης, νομίσας τὸν Θεμιστοκλέα μηδίζοντα ταῦτα ἀπεσταλκέναι, διέπεμψε τὰς ναῦς ἐπὶ Σαλαμῖνα ὡς ἐκυκλώσατο τοὺς Ἕλληνας εἰς τὸ μένειν αὐτούς. Ἐσπούδαζεν δὲ ὁ Ξέρξης, ζεῦγμα κατασκευάσας, πεζῇ ἐμβῆναι ἐπὶ τὴν Σαλαμῖνα ὃν τρόπον διῆλθε ἐπὶ τὸν Ἑλλήσποντον. Καὶ μέρος τι ἔχων ἦκεν κατὰ τὸ Ἡράκλειον. Ἐπειδὴ δὲ ἀδύνατον ἦν τὸ πᾶν μεθυφθῆναι, καθεζόμενος ἐπὶ τῦ Πάρνηθος ὄρους (ἐγγὺς δὲ ἦν τοῦτο), ἐώρα τὴν ναυμαχίαν. Ἤρξατο δὲ τῦ ναυμαχεῖν Ἀμει-

Codex Poliorceticorum vetustissimus M. præter Excerpta illa quæ supra leguntur, continet aliud insigne fragmentum historici cujusdam cui nomen videtur esse *Aristodemus*. Quod fragmentum quum ad bella Medica pertineat neque a re militari et tactica abhorreat, operæ pretium me facturum esse arbitratus sum, si ad calcem hujus operis subjunxero. Notandum tamen est, hoc fragmentum non eadem manu exaratum fuisse quæ ceteras præliorum atque obsidionum narrationes huic codici insertas descripsit.

Titulum Ἐκ τῶν Ἀριστοδήμου imponendum censui, quia initio fragmenti depictus est prima manu asteriscus (⁂) cum hac nota litteris uncialibus exarata: Καὶ τὸ σημεῖον τοῦτο ἐστι τὸ ζητούμενον τῦ Ἀριστοδήμου. Textum ipsum dedi ad fidem codicis, exceptis paucissimis iis quæ infra notabuntur. ‖ 2. Σίκινον] sic codex. Idem audit Σίκιννος apud Herodot. VIII, LXXV et CX.

νίας Ἀθηναῖος, υἱὸς μὲν Εὐφορίωνος, ἀδελφὸς δὲ Κυνεγείρου καὶ Αἰσχύλου τῶν τραγῳδοποιῶν. Ἐνίκων μὲν ἦν πάντες οἱ Ἕλληνες, ἐκπεπληγμένοι δὲ οἱ Ἀθηναῖοι. Συνεσηκυίας δὲ τῆς μάχης, ὁ Ξέρξης ἱκανὰς μυριάδας ἐπεβίβασεν εἰς τὴν πλησίον νησίδα παρακειμένην τῇ Σαλαμῖνι ὀνομαζομένην Ψυτάλειαν, ἐκπληττόμενος τε τοὺς Ἕλληνας καὶ βουλόμενος τὰ προσφερόμενα ναυάγια τῶν βαρβάρων ἀνασώζεσθαι. Ἀριστείδης δὲ Ἀθηναῖος, υἱὸς Λυσιμάχου, καλούμενος δίκαιος, ἐξωστρακισμένος ὑπὸ τῶν Ἀθηνῶν καὶ ὑποστρατηγῶν ἐν Αἰγίνῃ τότε, συμμαχῶν καὶ αὐτὸς τοῖς Ἕλλησιν, παρεγένετο πρὸς Θεμιστοκλέα, καὶ στρατὸν αὐτὸν ἤτησεν εἰς τὸ ἀμύνασθαι τοὺς ἐν τῇ Ψυτταλείᾳ. Ὁ δέ, καίπερ ἐχθρὸς αὐτῷ γεγονώς, ὅμως ἔδωκεν. Λαβὼν δὲ Ἀριστείδης ἐπέβη εἰς τὴν Ψυτάλειαν, καὶ πάντας τοὺς βαρβάρους ἐφόνευσεν. Καὶ μέγιστον τοῦτο ἔργον ἐπεδείξατο ὑπὲρ τῶν Ἑλλήνων. Διασημότερον δὲ ἠγωνίσαντο τῇ ναυμαχίᾳ, καὶ ἠρίστευσεν Ἀμεινίας· τῶν δὲ βαρβάρων γυνή, Ἁλικαρνασὶς τὸ γένος, ὄνομα δὲ Ἀρτεμισία, ἥτις διωκομένης τῆς νεὼς αὐτῆς κινδυνεύουσα ἀπολέσθαι τὴν ἐμπροσθεν ναῦν ἰδίαν ὁσαν ἐβύθισεν. Ὁ δὲ Ἀμεινίας, δόξας σύμμαχον εἶναι τῶν Ἑλλήνων, ἀπεστράφη τὸ διώκειν. Ὁ δὲ Ξέρξης, θεασάμενος τὸ γενόμενον, εἶπεν· Οἱ μὲν ἄνδρες μοι γυναῖκες γεγόνασιν, αἱ δὲ γυναῖκες ἄνδρες. Ἠρίστευσαν δὲ τῶν Ἑλλήνων ἐκπρεπέστερον μετὰ Ἀθηναίους Αἰγινῆται· οἵπνες κατὰ τὸ στενὸν τῷ πορθμῷ καταπά-

1. Ἀθηναῖος] sic codex. Aminias dicitur Παληνεύς apud Herodot. VIII, LXXXIV et XCIII. ‖ 5. Ψυτάλειαν] sic simplici τ codex pro vulgato Ψυττάλεια vel Ψυττᾰλία, de quibus cf. *Thes. ling. gr.* ed. Hase, vol. VIII, p. 1939. ‖ 10. ἤτησεν] sic legendum videtur. ἤτησαν codex. ‖ 22. Αἰγινῆται] Αἰγινίται codex, forsan ex iotacismo, quo η = ι.

Ined. ξαντες ἑαυτοὺς πολλὰς τῶν βαρβάρων νῆας φευγούσας εἰς τὸ
στενὸν παραδεχόμενοι ἐβύθιζον. Ἡττηθέντων δὲ τῶν βαρβάρων καὶ
φευγόντων, οἱ Ἕλληνες ἐβούλοντο λύειν τὸ ἐπὶ τοῦ Ἑλλησπόντου
ζεῦγμα, καὶ καταλαμβάνεσθαι Ξέρξην ἐν τῇ Ἑλλάδι. Θεμιστο-
5 κλῆς δὲ, οὐκ οἰόμενος ἀσφαλὲς εἶναι οὐδὲ τοῦτο, δεδοικὼς μήποτε
ἐὰν ἀπογνῶσιν τὴν σωτηρίαν οἱ βάρβαροι φιλοκινδυνώτερον
ἀγωνίσονται, ἐξ ὑποστροφῆς ἀντέπρασσε. Κεκυρωμένων δὲ οὐδὲν
ἰσχύων, ἔπεμψε κρύφα Ξέρξῃ δηλῶν ὅτι μέλλουσιν οἱ Ἕλληνες
λύειν τὸ ζεῦγμα. Ὁ δὲ φοβηθεὶς ἔφευγεν. Ἐν δὲ τῇ ναυμαχίᾳ
10 τῇ περὶ Σαλαμῖνα, καὶ οἱ θεοὶ συνεμάχησαν τοῖς Ἕλλησιν.
Ἰνεὸς γὰρ ὁ Θεοκύδους, ἀνὴρ Ἀθηναῖος, ἔφη θεάσασθαι ἐν τῷ
Θριασίῳ πεδίῳ κονιορτὸν ὡς δισμυρίων ἀνδρῶν ἀναφερόμενον
ἀπ' Ἐλευσῖνος βοώντων τὸν μυστικὸν Ἴακχον, τὸν δὲ κονιορτὸν
νεφωθέντα ἐμπεσεῖν εἰς τὰς ναῦς τῶν Ἑλλήνων. Φεύγοντος δὲ τοῦ
Ms. fol. 84 r°. 15 Ξέρξου, Μαρδόνιος υἱὸς Γωβρύου τοῦ καὶ αὐτοῦ ἐπιθεμένου τοῖς μά-
γοις (συμπείσας καὶ γὰρ αὐτὸς Ξέρξην στρατεῦσαι ἐπὶ τὴν Ἑλλάδα)
ᾐτιᾶτο τὸ πολὺ πλῆθος τῶν βαρβάρων ὡς αἴτιον γεγονὸς τῆς ἥττης.
Ὑπέσχετο δὲ νικήσειν τοὺς Ἕλληνας εἰ λάβοι στρατοῦ μυριάδας
Λ̄. Λαβὼν δὲ ὁ Μαρδόνιος ἔπεμψε πρῶτον πρὸς Ἀθηναίους
20 Ἀλέξανδρον τὸν Μακεδόνα τὸν Φιλίππου πρόγονον, ὑπισχνούμε-
νος δώσειν αὐτοῖς μυρία τάλαντα καὶ γῆν ὅσην αὐτοὶ βούλονται
τῆς Ἑλλάδος, τηρήσειν τε ὑποσχόμενος καὶ τὴν ἐλευθερίαν αὐτοῖς

1. Ἑλλησπόντου] Ἑλλισπόντου codex, videlicet ex iotacismo. ‖ 11. Ἰνεὸς] ἴνεος sine spiritu et accentu codex. Idem vir audit Δικαῖος ὁ Θεοκύδεος apud Herodot. VIII, LXV. ‖ 16. συμπείσας] supplevi. Litteras συμπ habet codex; ceteræ evanuerunt. ‖ 18-19. μυριάδας Λ̄] littera Λ̄ est numeralis. Intellige μυριάδας τριάκοντα. Litteras numerales hic et alibi e codice dedi. ‖ 22. τηρήσειν] τηρήσιν ex iotacismo codex.

καὶ τὴν αὐτονομίαν, εἰ ἔλοιντο μένειν ἐφ' ἑαυτῶν καὶ μὴ συμμαχεῖν τοῖς Ἕλλησιν. Ἐπειδὴ δὲ ὁ Ἀλέξανδρος παρεγένετο εἰς τὰς Ἀθήνας καὶ ταῦτ' ἐδήλωσεν, οἱ Ἀθηναῖοι ὅτε τοὺς λόγους προσεδέξαντο, ὑβρίσαντες τε τὸν Ἀλέξανδρον ἀπεπέμψαντο. Ὁ δὲ Μαρδόνιος, ἀποτυχὼν ἐν τούτοις, ἐπῆλθεν εἰς τὰς Ἀθήνας καὶ τὰ ἔτι περιλειπόμενα μέρη προσενέπρησεν· παραγενόμενός τε εἰς τὰς Ἀθήνας ἅμα τῷ στρατῷ ἐνταῦθα ἐστρατοπεδεύσατο. Οἱ δὲ Ἕλληνες ἐστρατοπεδεύσαντο ἐν Πλαταιαῖς. Τὰ δὲ μεταξὺ Θηβαίων καὶ Πλαταιῶν στάδιά ἐστιν Π. Συμπαρεπάσσοντο δὲ Μαρδονίῳ Βοιωτῶν μυριάδες Δ. Εἶχον δὲ τὸ μὲν δεξιὸν κέρας Πέρσαι καὶ Μαρδόνιος· τὸ δὲ εὐώνυμον, οἱ μηδίσαντες Ἕλληνες. Τῶν δὲ Ἑλλήνων οἱ μὲν Ἀθηναῖοι εἶχον τὸ δεξιόν, τὸ δὲ εὐώνυμον Λακεδαιμόνιοι· μετέπεσον δὲ αὐτοὺς οἱ Λακεδαιμόνιοι, φήσαντες Ἀθηναίοις ἐμπειροτέροις εἶναι πρὸς τὸ μάχεσθαι Πέρσαις. Ἐν δὲ τούτῳ Μαρδόνιος, δεδοικὼς μάχεσθαι Ἀθηναίοις, μετέπεσέν τε τὴν Φάλαγγα καὶ ὅπως συνέβη τοῖς Λακεδαιμονίοις καὶ ἀκουσίως μάχεσθαι τοῖς Πέρσαις. Ἐστρατήγει δὲ Λακεδαιμονίων μὲν Παυσανίας ὁ Κλεομβρότου, Ἀθηναίων δὲ Ἀριστείδης ὁ δίκαιος. Γενομένης δὲ τῆς συμβολῆς τῶν Περσῶν, Ἀθηναῖοι ἐπεβοήθησαν τοῖς Λακεδαιμονίοις καὶ ἐνίκησαν. Ἐνταῦθα ὁ Μαρδόνιος ἔπεσεν γυμνῇ τῇ κεφαλῇ μαχόμενος, ἀναιρεθεὶς ὑπὸ

7. στρατῷ] στραπωι codex. — ἐστρατοπεδεύσατο] ἐστραπαιδεύσατο codex, secundum pronuntiandi rationem quâ ΑΙ = Ε. ‖ 8. ἐστρατοπεδεύσατο] ἐστραπαιδεύσατο codex. ‖ 9. στάδιά ἐστιν Π] littera Π est numeralis. Intellige στάδιά ἐστιν ὀγδοήκοντα. ‖ 10. μυριάδες Δ] littera Δ est numeralis. Sunt μυριάδες τέσσαρες. ‖ 11. μηδίσαντες] μηδήσαντες codex. ‖ 13. αὐτοὺς] an legendum αὖτοὺς cum spiritu aspero? ‖ 14. ἐμπειροτέρους] supplevi. Solæ litteræ ροτερους in codice apparent.

Ἀεισμήσου ἀνδρὸς Λακεδαιμονίου. Ἡείστευσεν δὲ ἐνταῦθα καὶ Ἀεισόδημος ὁ ὑποστρέψας ἀπὸ Θερμοπυλῶν καὶ κληθεὶς διὰ τοῦτο ὁ Τρισσᾶς. Διὸ Λακεδαιμόνιοι οὐκ ἐδώκαν αὐτῷ τὸ γέρας τῆς ἀριστείας, ἡγησάμενοι τὸ μὲν πρῶτον γενόμενον περὶ τὴν λειποταξίαν γνώμης εἶναι, τὸ τελευταῖον δὲ περὶ τὴν ἀριστείαν τύχης. Ἐπειδὴ δὲ ἔπεσεν ὁ Μαρδόνιος, οἱ Πέρσαι ἔφυγον εἰς Θήβας· οἱ δὲ Ἕλληνες ἐπελθόντες δώδεκα μυριάδας αὐτῶν ἐφόνευσαν· ἐξάκις δὲ μυρίων ἐπιστρεφόντων ἐπὶ τὴν οἰκείαν, Ἀλέξανδρος ὁ Μακεδών, ἰδίᾳ προσβευσάμενος πρὸς τοὺς Ἀθηναίους περὶ ὧν ἀπεσάλη ὑπὸ Μαρδονίου, πάντας αὐτοὺς γενομένους κατὰ Μακεδονίαν ἐφόνευσεν, ἀπολογούμενος ὅτι ἄκων ἐμήδισεν. Καὶ οἱ ἐν ταῖς ναυσὶ δὲ Ἕλληνες ἐδίωκον τὸ ναυτικὸν τὸ Ξέρξου· πλεύσαντες σταδίους τεσσαρας τοὺς ἀπὸ Σαλαμῖνος εἰς Μίλητον, κατέλαβον τὰς ναῦς τῶν βαρβάρων, καὶ ἕτοιμοι ἦσαν ναυμαχεῖν. Οἱ δὲ βάρβαροι, ὡ πιστεύοντες ταῖς ναυσὶν διὰ τὸ πεπειρᾶσθαι τῆς Ἀθηναίων ἐμπειρίας, ἐξέβησαν καὶ ἐστρατοπεδεύσαντο περὶ Μυκάλην (ὅπερ ἐστὶν ὄρος τῆς Μιλησίας)· καὶ οἱ Ἕλληνες δὲ ἀποβάντες συνέβαλον αὐτοῖς, καὶ τὰς Δ μυριάδας ἐφόνευσαν, τάς τε ναῦς ἐρήμους παρέλαβον· γενομένης τε τῆς μάχης τῆς ἐν Πλαταιαῖς καὶ νικώντων τῶν περὶ Μυκάλην Ἑλλήνων· ἐστρατήγει δὲ

1. Ἀεισμήσου] sic codex. Idem vir audit Ἀεσίμνηστος apud Herodot. IX, LXIV. ‖ 3. ὁ Τρισσᾶς] sic cum duplici σ codex. Vulgo scribitur πρέσσας sive πρισσᾶς. Confer Herodot. VII, CCXXXI : ὄνειδός τι εἶχε ὁ πρισσὰς Ἀεισόδημος. ‖ 8. ὑποστρεφόντων] litteras των supplevi. ‖ 9. ἰδίᾳ] ἰδίαι codex. ‖ 13. Μίλητον] μιλιτον ex iotacismo codex. ‖ 15. εὖ] scripsi ex conjectura. οἱ codex. ‖ 16. ἐστρατοπεδεύσαντο] στρατοπαιδευσαντο codex. ‖ 17. Μιλησίας] μιλισιας ex iotacismo codex. ‖ 18. ταῖς Δ μυριάδας] sic codex, ubi littera Δ numeralis. Intellige ταῖς τέσσαρας μυριάδας.

τῆς Μυκάλης Λακεδαιμονίων μὲν Λεωτυχίδας ὁ βασιλεύς, Ἀθηναίων δὲ Ξάνθιππος ὁ Ἀρίφρονος ὁ Περικλέους πατήρ. Οἱ δὲ ἐν ταῖς Πλαταιαῖς Ἕλληνες μετὰ τὸ νικῆσαι ἔστησαν τρόπαια, καὶ ἑορτὴν ἦγαγον Ἐλευθερίαν προσαγορεύσαντες, Θηβαίους τε καθὼς ὤμοσαν ἐδεκάτευσαν.

Ἀπὸ δὲ τῆς Περσικῆς στρατείας ἐπὶ τὸν Πελοποννησ|iακὸν πόλε- M. fol. 84 v°
μον|. . . . . ἐπράχθη
τάδε. Ἐπειδὴ ἐξήλασαν τοὺς Πέρσας οἱ Ἕλληνες. . . . . .
. . . . . εφον
εἰς Σηστὸν οἱ Ἀθηναῖοι προσέμενον προσπολεμοῦντες· καὶ Παυ-
σανίας ὁ Κλεομβρότου ὁ τῶν Λακεδαιμονίων στρατηγός, κατὰ
φιλοτιμίαν τὴν ὑπὲρ τῶν Ἑλλήνων, ἅμα διὰ προδοσίαν (συν-
πεθειμένος γὰρ ἦν Ξέρξῃ προδόσειαν αὐτῷ τοὺς Ἕλληνας ἐπὶ
τὸ λαβεῖν θυγατέρα παρ' αὐτοῦ πρὸς γάμον) ὡς ἐπηρμένος τε τῇ
ἐλπίδι ταύτῃ καὶ τῷ εὐτυχήματι τῷ ἐν Πλαταιαῖς, ὃν ἐμετεω-

4. Ἐλευθερίαν] scilicet ἑορτήν, sive feria quæ vocabatur ἡ Ἐλευθέρια. ‖ 5. ἐδεκάτευσαν] sic codex. Confer Herodot. VII, CXXXII, ubi de jurejurando agitur quod juraverunt Græci ἐλευθερόφρονες adversus Græcos μηδίζοντας hisce verbis: Τὸ δὲ ὅρκιον ὧδε εἶχε· ὅσοι τῷ Πέρσῃ ἑδοσάν σφεας αὐτοὺς Ἕλληνες ἐόντας μὴ ἀναγκαζόμενοι, κατασκόπων σφι ἐὼν τῶν στρατευμάτων, τούτους δεκατεῦσαι τῷ ἐν Δελφοῖσι θεῷ. Item apud Diodorum Siculum legitur: Οἱ δ' ἐν Ἰσθμῷ συνεδρεύοντες τῶν Ἑλλήνων ἐψηφίσαντο τοὺς μὲν ἐθελοντὴ τῶν Ἑλλήνων ἑλομένους τὴ Περσῶν δεκατεῦσαι τοῖς θεοῖς. (Diod. Sic. XI, III.) ‖ 5-6. Subjicitur folio codicis 84 recto et imo nota ab eo qui compegit librum erasa, quæ, si partem litterarum adhuc superstitem attentius inspexeris, fuisse videtur ea: Τέλος τῆ Δ, scilicet τέλος τῆ πεμπτου βιβλίου. In pagina autem sequenti codicis (folio 84 verso et summo) scriptum fuisse videtur Ἀρχὴ. . . . . scilicet ἀρχὴ τῆ πέμπτου βιβλίου. Unde conjiciendum est quinque ad minimum constitisse libris historiam deperditam Aristodemi. ‖ 6. Post litteras πλοποννησ. . . . . occurrit in codice lacuna triginta circiter litterarum. Itidem, post verba οἱ Ἕλληνες, occurrit lacuna similis. ‖ 15. τῷ ἐν Πλαταιαῖς] τὸ codex. ‖ 15-p. 355, l. 1. ἐμετεω|ἐμπροσθι codex.

Ined. πάθει. Ἀλλὰ πρῶτον μὲν τρίποδα ἀναθεὶς τῷ ἐν Δελφοῖς Ἀπόλλωνι, ἐπίγραμμα ἔγραψεν πρὸς αὐτὸν τοιοῦτον·

Ἑλλήνων ἀρχηγὸς ἐπεὶ στρατὸν ὤλεσε Μήδων
Παυσανίας Φοίβῳ μνῆμ' ἀνέθηκε τόδε.

Τῶν δὲ ὑποτεταγμένων αὐτῷ πικρῶς ἦρχε καὶ τυραννικῶς, τὴν μὲν Λακονικὴν δίαιταν ἀποτεθειμένος, ἐπιτετηδευκὼς δὲ τὰς τῶν Περσῶν ἐσθῆτας φορεῖν καὶ Περσικὰς τραπέζας παρατεθειμένας πολυτελεῖς ὡς ἔθος ἐκείνοις.

Κατὰ δὲ τοῦτον τὸν χρόνον Ἀθηναῖοι, ἐμπεπρησμένης αὐτῶν τῆς πόλεως ὑπὸ Ξέρξου καὶ Μαρδονίου, ἐβουλεύοντο τειχίζειν αὐτήν· Λακεδαιμόνιοι δὲ οὐκ ἐπέτρεπον αὐτοῖς, πρόφασιν μὲν ποιούμενοι ὁρμητήριον εἶναι τὰς Ἀθήνας τῶν ἐπιπλεόντων βαρβάρων, τὸ δὲ ἀληθὲς φθονοῦντες καὶ μὴ βουλόμενοι πάλιν αὐξηθῆναι· οὓς Θεμιστοκλῆς συνέσει διαφέρων κατεστρατήγησεν αὐτῶν τὸν φθόνον. Ἐγκελευσάμενος γὰρ τοῖς Ἀθηναίοις τειχίζειν τὴν πόλιν, ᾤχετο εἰς Λακεδαίμονα ὡς πρεσβεύων· λόγων τε γιγνομένων παρὰ τοῖς Λακεδαιμονίοις ὅτι Ἀθηναῖοι τειχίζουσι τὴν πόλιν, ἀντέλεγεν Θεμιστοκλῆς. Ὡς δὲ οὐκ ἐπίστευον οἱ Λακεδαιμόνιοι, ἔπεισεν αὐτοὺς πρέσβεις πέμψαι τινὰς ἐξ αὐτῶν εἰς τὰς Ἀθήνας τοὺς γνωσομένους εἰ κτίζοιτο ἡ πόλις. Τῶν δὲ Λακεδαιμονίων ἑλομένων ἄνδρας καὶ πεμψάντων, Θεμιστοκλῆς κρύφα ὑπέπεμψε τοῖς Ἀθηναίοις κατέχειν παρ' ἑαυτοῖς τοὺς ἀπεσταλμένους τῶν Λακεδαιμονίων ἄνδρας ἕως ἂν αὐτὸς ὑποστρέψῃ εἰς τὰς Ἀθήνας. Πραξάντων δὲ τοῦτο

3. Ἑλλήνων ἀρχηγὸς κ. τ. λ.] Distichon idem vide apud Thucydid. I, CXXXII. || 5. αὐτῷ] αὐτω cum spiritu leni codex. || 7-8. παρατεθειμένας] παρατεθημένας codex. || 11. Λακεδαιμόνιοι δὲ] Λακεδαιμόνιοι· οἱ δὲ codex, errore ut videtur librarii.

τῶν Ἀθηναίων, οἱ Λακεδαιμόνιοι αἰσθόμενοι τὴν ἀπάτην Θεμιστοκλέους οὐδὲν διέθεσαν αὐτὸν δεινὸν δεδοικότες περὶ τῶν ἰδίων, ἀλλ' ἀποδόντες αὐτὸν ἐκομίσαντο τοὺς ἰδίους. Ἐν δὲ τῷ μεταξὺ χρόνῳ ἐπεχείρησαν αἱ Ἀθῆναι τὸν τρόπον τοῦτον. Ὁ μὲν τῆς ἄστεως περίβολος ἑξήκοντα σταδίων ἐπεχείθη· τὰ δὲ μακρὰ τείχη Φάληρον ἐπὶ τὸν Πειραιᾶ ἐξ ἑκατέρου μέρους σταδίων Μ· ὁ δὲ τοῦ Πειραιῶς περίβολος σταδίων Π. Ἔστιν δὲ ὁ Πειραιεὺς λιμὴν εἰς δύο διῃρημένος· κέκληται δὲ αὐτοῦ τὸ μὲν ἓν μέρος Μουνυχία· τὰ δεξιὰ δὲ ἄκρα τοῦ Πειραιῶς ἥ ἐστιν ἐπὶ νῦν Δία καλεῖται· ὄχθος δέ ἐστιν ἐν Πειραιεῖ ἐφ' οὗ τὸ τῆς Ἀρτέμιδος ἱερὸν ἵδρυται. Τὸ δὲ Φαληρικὸν τεῖχος ἑκκαίδεκα σταδίων Λ, πλατὺ δὲ ὥστε δύναθαι δύο ἅρματα ἀλλήλοις συναντᾶν. Καὶ ἡ μὲν τῶν Ἀθηναίων πόλις οὕτως ἐτειχίθη. Ὁ δὲ Θεμιστοκλῆς, διὰ τὴν ὑπερβάλλουσαν σύνεσιν καὶ ἀρετὴν φθονηθείς, ἐξεδιώχθη ὑπὸ τῶν Ἀθηναίων καὶ παρεγένετο εἰς Ἄργος. Λακεδαιμόνιοι δὲ, ἀκούσαντες τὰ περὶ τῆς ἐγκεχειρισμένης στρατιᾶς Παυσανίᾳ, πέμψαντες αὐτῷ τὴν σκυτάλην, μετεκαλοῦντο αὐτὸν ὡς ἀπολογησόμενον. Ὁ δὲ Παυσανίας, ἐλθὼν εἰς τὴν Σπάρτην, ἀπελογήσατο· καὶ ἀπαλλάξας τοὺς Λακεδαιμονίους, ἀπολυθεὶς τῆς αἰτίας, ὑπεξῆλθεν καὶ πάλιν ἐπῆρχε τὴν στρατιάν.

Ἐν δὲ Τύπῳ οἱ Ἕλληνες, ἀφισάμενοι ἀπὸ τῶν Λακεδαιμονίων διὰ τὸ πικρῶς τυραννεῖσθαι ὑπὸ τοῦ Παυσανίου, στρατεύοντο

6. σταδίων Μ] sic codex. Littera Μ est numeralis. Lege σταδίων πεντακόσια. ‖ 7. σταδίων Π] sic codex, scilicet σταδίων ἑξακόσια. — Πειραιεὺς] πιρευς codex. ‖ 8. Μουνυχία] sic codex pro vulgato Μουνυχία. ‖ 10. Πειραιεῖ] πιρεεῖ ponit codex. ‖ 11. σταδίων Λ] sic codex. scilicet σταδίων τριάκοντα.

Inscr. τῖς Ἀθηναίοις. Καὶ ὕτως ἤρξαντο πάλιν οἱ Ἀθηναῖοι φόροις λαμβάνοντες αὔξεσθαι· ναῦς τε γὰρ κατεσκεύαζον . . . . . .

Ms. Fol. 85 r° . . . . . χρημάτων θησαυροφυλάκιον ἐποιήσαντο ἐν Δήλῳ. . . . . τάλ]αντα ἐκ τῆς Δήλου τὰ συναχθέντα μετεκόμισαν εἰς τὰς Ἀθήνας, καὶ κατέθεντο ἐντὸς ἐν Ἀκροπόλει.

Ὁ δὲ Παυσανίας, ὑπάρχων ἐν Βυζαντίῳ, ἀναφανδὸν ἐμήδισεν, καὶ κακὰ διετίθει τοὺς Ἕλληνας. Διεπράξατο δ' ἔτι καὶ τοιοῦτον. Ἦν ἐπιχωρίου τινὸς θυγάτηρ Κορωνίδου ὄνομα, ἐφ' ἣν ἔπεμψεν ὁ Παυσανίας ἐξαιτῶν τὸν πατέρα. Ὁ δὲ Κορωνίδης, δεδοικὼς τὴν ὠμότητα τοῦ Παυσανίου, ἔπεμψεν αὐτῷ τὴν παῖδα. Ἧς καὶ παραγενομένης νυκτὸς εἰς τὸ οἴκημα κοιμωμένου τοῦ Παυσανίου καὶ παραστάσης, περίυπνος γενόμενος ὁ Παυσανίας δόξας τε κατ' ἐπιβουλήν τινα εἰσεληλυθέναι, ἐπαράμενος ξιφίδιον, ἐπερόνησε τὴν κόρην καὶ ἀπέκτεινεν. Καὶ διὰ τοῦτο εἰς μανίαν περιέστη, καὶ γενόμενος φρενοβλαβὴς ἐκεκράγει πολλάκις ὡς δὴ μαστιγούμενος ὑπὸ τῆς κόρης. Πολλοῦ δὲ χρόνου διαγενομένου, ἐξιλάσατο τοὺς δαίμονας τῆς παιδὸς, καὶ ὕτως ἀπεκατέστη. Τῆς δὲ προδοσίας οὐκ ἐπαύετο, ἀλλὰ γράψας ἐπιστολὰς Ξέρξῃ, Ἀργιλίῳ ἀγαπωμένῳ ἑαυτοῦ δίδωσι ταύτας ἐγκελευσάμενος κομίζειν πρὸς Ξέρξην. Ὁ δὲ Ἀργίλιος, δεδοικὼς περὶ αὐτοῦ (ἐπειδὴ γὰρ οὐδὲ οἱ πρότεροι

2–3. Post κατεσκεύαζον desunt in codice circiter duodeviginti litteræ. ‖ 3. Post Δήλῳ desiderantur itidem in codice duodeviginti litteræ. ‖ 4. τάλαντα] supplevi. Solæ apparent litteræ αντα in codice. ‖ 7. ἀναφανδὸν] αναφανδων codex. ‖ 10. πατέρα] πρα codex. ‖ 11. ὠμότητα] ομότητα codex. ‖ 13. περίυπνος] vocabulum novum. Cf. περιυπνίζω Gl. — γενόμενος] γενομενομενος codex. ‖ 14. ἐπερόνησε] ἐπερώνησε codex. ‖ 19 Ἀργιλίῳ] idem nomen apud Thucyd. I, cxxxii: ἀνὴρ Ἀργίλιος παιδικά ποτε ὢν αὐτοῦ κ. τ. λ.

πεμφθέντες ἀπενόησαν) τοὺς Ξέρξην ὑ παρεγένετο. Ἐλθὼν δὲ εἰς Σπάρτην, τοῖς ἐφόροις ἐμήνυσε τὴν τοῦδοσίαν, ἱκέτευε δὲ καταφορὸν δεῖξειν τὸν Παυσανίαν. Καὶ συνθέμενος περὶ τούτων ἦλθε εἰς Ταίναρον, ἔν τε τῷ τῦ Ποσειδῶνος τεμένει ἱκέτευεν. Οἱ δὲ ἔφοροι, παραγενόμενοι καὶ αὐτοὶ [ὑπὸ αὐτὸ τὸ τέμενος ὑ δι]πλῆν σκηνὴν κατασκευάσαντες, ἐν αὐτῇ ἔκρυψαν ἑαυτούς. Οὐκ ἐπισάμενος δὲ Παυσανίας ταῦτα, ἀκούσας δὲ τὸν Ἀργίλιον ἱκετεύοντα, παρεγένετο τοὺς αὐτὸν, ὑ ἀπεμέμφετο ἐπὶ τὸ μὴ κομίσαι τὰς ἐπιστολὰς τοὺς Ξέρξην, ἄλλα τέ ἷνα τεκμήρια δείξῃει τῆς τοῦδοσίας· οἱ δὲ ἔφοροι, ἀκούσαντες τῶν ῥηθέντων, παραχρῆμα μὲν ὑ συνελάβοντο αὐτὸν διὰ τὸ εἶναι ἄλιον τὸ τέμενος, ἀλλ' εἴασαν ἀπελθεῖν. Ὕστερον δὲ αὐτὸν ἐλθόντα εἰς Σπάρτην ἐβούλοντο συλλαμβάνεσθαι. Ὁ δὲ ὑποπτήσας εἰσέδραμεν εἰς τὸ τῆς Χαλκιοίκυ Ἀθηνᾶς τέμενος [καὶ] ἱκέτευεν. Τῶν δὲ Λακεδαιμονίων ἐν ἀπόρῳ ὄντων διὰ τὴν εἰς τὸν θεὸν θρησκείαν, ἡ μήτηρ τῦ Παυσανίυ βασάσασα πλίνθον ἔθηκεν ἐπὶ τῆς εἰσόδου τῦ τεμένους, τοῦκαταρχομένη τῆς κατὰ τῦ παιδὸς κολάσεως· οἱ δὲ Λακεδαιμόνιοι, κατακολουθήσαντες αὐτῇ, ἐνῳκοδόμησαν τὸ τέμενος. Καὶ λιμῷ διαφθαρέντος τῦ Παυσανίυ, ἀνελθόντες τὴν στέγην, ἐξείλκυσαν τῦ

4. Post verba Ποσειδῶνος τεμένει occurrit in codice signum o——o. Deinde sequuntur tres paginæ e Philostrati vita Apollonii excerptæ. Postea repetitur signo o——o, apparentique adhuc vestigia litterarum τοῦπ' εἰσὶ τὸ ζη[τουμενον, scilicet τὸ ζητουμενον σημεῖον τῦ Ἀριστοδήμυ. Pergit deinceps narratio verbis ἱκέτευεν κ.τ.λ. ‖ 5. ὑπὸ αὐτὸ τὸ τέμενος δι]πλῆν] supplevi. Desiderantur in codice quindecim fere litteræ. Legitur σκηνησαμένη δι]πλῆι διαφεύγματι καλύβην apud Thucydid. I, cxxxiii. ‖ 9. δειξῄει] δειξειν codex. ‖ 13. τῆς Χαλκιοίκυ] sic codex. Cf. Thucydid. I, cxxxiv. ‖ 14. καὶ] supplevi. Omittit codex. ‖ 15. τὴν θεόν] sic codex, cum abbrevatione θν. An potius legendum τὴν θεόν, scilicet Palladem? — μήτηρ] μηρ codex.

ναοῦ ἐπ ἐμπνέοντα τὸν Παυσανίαν ϗ ἐξέρειψαν. Διὰ δὲ τοῦτο λοιμὸς αὐτοὺς κατέχειν. Θεὸν δὲ χρήσαντος, ἐπὰν ἐξιλάσωνται τοὺς δαίμονας τοῦ Παυσανίου, παύσασθαι τὸν λοιμόν, ἀνδριάντα αὐτῷ ἀνέσησαν, ϗ ἐπαύσατο ὁ λοιμός.

Ζητήσεως δὲ ὄσης παρὰ τοῖς Ἕλλησιν, ἵνας δεῖ θεηλαφῆναι αὐτῶν τῶν συμμεμαχηκότων ἐν τῷ Μηδικῷ πολέμῳ, ἐξεῦρον οἱ Λακεδαιμόνιοι τὸν δίσκον ἐφ' οὗ κυκλοτέρους ἐπέλαβαν τὰς ἠγωνισμένας πόλεις ὡς μήτε θεόπους ἵνας γεγράφθαι, μηθ' ὑστέρους. Λακεδαιμόνιοι δὲ, ἐπεὶ τὰ τοῦ Παυσανίου ἐπονειδίστως ἐκλωβᾶται, τοὺς Ἀθηναίους ἔπειθον λέγοντες ἐν ταῖς Παυσανίου ἐπιστολαῖς κοινωνὸν εὑρηκέναι τῆς θεηδοσίας Θεμιστοκλέα· ὁ δὲ Θεμιστοκλῆς, δεδοικὼς τοὺς Λακεδαιμονίους, οὐκ ἔμεινεν ἐν τῷ Ἄργει, ἀλλὰ παρεγένετο εἰς Κέρκυραν, κἀκεῖθεν εἰς Μολοσσοὺς πρὸς Ἄδμητον βασιλεύοντα ϗ ἐλθὼν αὐτῷ θέτερον. Τῶν δὲ Λακεδαιμονίων παραγενομένων πρὸς τὸν Ἄδμητον καὶ ἐξαιτούντων αὐτὸν, ἡ γυνὴ τοῦ Ἀδμήτου ἱκέτευτο Θεμιστοκλέα ἁρπάσαι τὸν τοῦ βασιλέως παῖδα ϗ καθεσθῆναι ἐπὶ τῆς ἑστίας ἱκετεύοντα. Πραξάντος δὲ τοῦ Θεμιστοκλέους, ὁ Ἄδμητος καταλείσας αὐτὸν οὐκ ἐξέδωκεν, ἀλλ' ἀπεκρίθη τοῖς Πελοποννησίοις μὴ ὅσιον εἶναι ἐκδοῦναι τὸν ἱκέτην. Ὁ δὲ Θεμιστοκλῆς, οὐκ ἔχων ὅπου ἀποδρᾷ, ἐπὶ τὴν Περσίδα ἔπλει. Ἐκινδύνευσε δὲ καὶ πλέων ἁλῶναι ϗ παραληφθῆναι. Νάξον γὰρ πολεμούντων Ἀθηναίων, ἡ ναῦς ἡ τοῦ Θεμιστοκλέους, χειμῶνος ἐπιγενομένου, προσήγετο τῇ Νάξῳ. Ὁ δὲ Θεμιστοκλῆς, δεδοικὼς μήποτε συλληφθῇ ὑπὸ τῶν Ἀθηναίων,

2. χρήσαντος] χίσαντος codex. ‖ 2/1. δεδοικὼς] δέδοκως codex.

ἠπείλησε τῷ κυβερνήτῃ ἀναιρήσειν αὐτὸν, εἰ μὴ ἀντέχοι τοῖς πνεύμασιν. Ὁ δὲ κυβηρνήτης, δείσας τὴν ἀπειλὴν, ὥρμησεν ἐπὶ σάλου νύκτα καὶ ἡμέραν, καὶ ἀντέσχε τοῖς ἀνέμοις. Καὶ οὕτω Θεμιστοκλῆς διασωθεὶς παρεγένετο εἰς τὴν Περσίδα, καὶ Ξέρξην μὲν οὐ κατέλαβεν ζῶντα, Ἀρταξέρξην δὲ τὸν υἱὸν αὐτοῦ, ᾧ οὐκ ἐνεφανίσθη· ἀλλὰ διατρίψας ἐνιαυτὸν καὶ μαθὼν τὴν Περσικὴν γλῶσσαν, τότε παρεγένετο πρὸς τὸν Ἀρταξέρξην, καὶ ἐπέμνησεν αὐτῷ τῶν εὐεργεσιῶν ἃς ἐδόκει κατατεθεῖσθαι εἰς τὸν πατέρα αὐτοῦ Ξέρξην, λέγων καὶ τῆς σωτηρίας αὐτῷ γενήσεσθαι αἴτιος. . . . . .

. . . . . ηνας Ms. fol. 87 r.

τὸ ζεῦγμα. Ὑπέσχετο δὲ, εἰ λάβοι στρατὸν παρ' αὐτοῦ, χειρώσασθαι τοὺς Ἕλληνας. Ὁ δὲ Ἀρταξέρξης, προσχὼν τοῖς εἰρημένοις, δέδωκεν αὐτῷ στρατὸν καὶ τρεῖς πόλεις εἰς χορηγίαν, Μαγνησίαν μὲν εἰς σῖτον, Λάμψακον δὲ εἰς οἶνον, Μυοῦντα δὲ εἰς ὄψον. Λαβὼν δὲ Θεμιστοκλῆς καὶ παραγενόμενος εἰς Μαγνησίαν, ἐπὶ τοῖς ἤδη γενόμενος τῆς Ἑλλάδος, μετενόησεν, οὐχ ἡγησάμενος δεῖν πολεμεῖν τοῖς ὁμοφύλοις· θύων δὲ τῇ Λευκοφρύνι Ἀρτέμιδι, σφαττομένου ταύρου, ὑποσχὼν φιάλην καὶ πληρώσας αἵματος, ἔπιεν καὶ ἐτελεύτησεν. Οἱ δὲ Ἕλληνες, γνόντες ταῦτα, ἐξεδίωκον τὸν στρατὸν

